www.tezaurliturgic.ro

ΙC ΧC ΝΙ ΚΑ

# ΑCΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΒΒΑ ΓΕΡΑCΙΜΟΥ ΤΟΥ ΕΝ ΤΩ ΙΟΡΔΑΝΗ

## ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟC Κ ΧΑΙΡΕΤΙCΜΩΝ ΤΟΥ ΑΓΙΟΥ



ΠΑΤΡΙΑΡΧΕΙΟΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

www.tezaurliturgic.ro

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

# ΤΟΥ ΑΒΒΑ ΓΕΡΑΣΙΜΟΥ ΤΟΥ ΕΝ ΤΩ ΙΟΡΔΑΝΗ

## ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΚΑΙ ΧΑΙΡΕΤΙΣΜΩΝ ΤΟΥ ΑΓΙΟΥ

Ἐπιμέλεια Ἀρχιμανδρίτου Χρυσοστόμου
Καθηγουμένου τής Ἱεράς Μονής
τοῦ Ὁσίου ἐν τῇ Ἐρήμῳ τοῦ Ἰορδάνου.

Ἡγούμενος: Ἀρχιμανδρίτης Χρυσόστομος
Διεύθυνσις: Sain Gerassimos Convent
P.O. B.O.X. 35
JERICHO - ISRAEL

Τηλέφωνο:
0097229943038
Ἀσύρματος:
0097250348892

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



ΜΗΝΙ ΜΑΡΤΙΩ Δ′

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μακάριος ἀνήρ. Εἰς τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η′
καί ψάλλομεν Στιχηρά Προσόμοια

Ἦχος Πλάγιος Α′ (Χαίροις ἀσκητικῶν...)

Χαίροις ἀσκητικῶν ἀληθῶς, ἀγωνισμάτων ὁ κανών ὁ εὐθύτατος, Σταυρόν γάρ ἐπ᾽ ὤμων ἄρας, ἀκολουθῶν τῷ Χριστῷ ἐν τῷ Ἰορδάνῃ προσεχώρησας. Ἐν ᾧ κατεπάτησας τῆς σαρκός τά σκιρτήματα, ταῖς ἀρεταῖς δέ τήν ψυχήν κατελάμπρυνας, καί πρός ἔνθεον ἀνεπτέρωσας ἔρωτα. Ὅθεν τήν σεβασμίαν Σου, τελοῦντες πανήγυριν τυχεῖν, Γεράσιμε, θείας, Φιλανθρωπίας, αἰτούμεθα, Χριστοῦ, ὅν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος. (δις).

Ἄνθραξ ὡς φωτοφόρος πυρί, προσομιλήσας γάρ τό Πνεῦμα, Γεράσιμε, τῇ ποίμνῃ τῇ θείᾳ μάκαρ, καταλαμπρύνων ψυχάς, τῶν πρός Σέ φοιτώντων, ὁσιώτατε. Πρός φῶς ὁδηγῶν αὐτούς, τό ἀνέσπερον, ἄριστε, ἐρημικούς δέ δροσιζόμενος ἄνωθεν, θείᾳ χάριτι κατεμάρανας ἄνθρακας. Ὅθεν καί τόν τῆς νίκης, σοί δεδώρηται στέφανον, πάτερ τῆς θείας δικαιοσύνης ὁ πρύτανις. Χριστόν, ὅν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος.

Κλῖμαξ οὐρανομήκης σαφῶς ἡ πολιτεία Σου, Γεράσιμε, δέδεικται, δι ἧσπερ πρός ὕψος ἤρθης, καί τῷ Δεσπότῃ Χριστῷ, ὁμιλεῖν παμ-

www.tezaurliturgic.ro



μάκαρ κατηξίωσαι. Τόν νοῦν ἐλλαμπόμενος, ταῖς ἐκεῖθεν ἐλλάμψεσι, μαρμαρυγαῖς δέ, ταῖς αὐτοῦ φωτιζόμενος, τήν ἰσάγγελον ἐκομίσω φαιδρότητα. Ὦ καί νῦν παριστάμενος, ἱκέτευσε, ὅσιε, τούς ἐκτελοῦντας τήν θείαν καί πανσεβάσμιον μνήμην Σου. Σύν Σοί παραστῆναι καί τῷ κόσμῳ δωρηθῆναι τό μέγα ἔλεος.

Ἦχος πλάγιος Δ΄. Ἕτερα Στιχηρά.
Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρων, Γεράσιμε, ἀναπτερώσας τόν νοῦν, πρός Θεόν διά πίστεως, κοσμικῆς συγχύσεως, ἐβδελύξω τό ἄστατον, καί τόν σταυρόν Σου ἀναλαβόμενος, τῷ Παντεπόπτῃ κατηκολούθησας, σῶμα δυσήνιον, ἀγωγαῖς ἀσκήσεως, καί λογισμῷ σθένει δουλωσάμενος τοῦ Θείου Πνεύματος.

Ὅσιε πάτερ, Γεράσιμε, ἐν ἐρημίᾳ ἀεί, καί σπηλαίοις καί ὄρεσι, πίστει διαιτώμενος, τόν Θεόν ἐξεζήτησας, καί τοῦτον εὗρες, ὥσπερ ἐπόθησας, ἀνεπιστρόφῳ ψυχῇ νευρούμενος. Ταῖς ἀναβάσεσι, ταῖς καλαῖς ἑκάστοτε καί μοναχῶν, στίφη προσενήνοχας, Χριστῷ σῳζόμενα.

Πάντα τόν βίον διήνυσας ἐν ἡσυχίᾳ πολλῇ καί ἐν πένθει καί δάκρυσι, μοναστῶν γενόμενος, ἀλείπτης διά τῆς πίστεως, Ἀκτημοσύνῃ κατακοσμούμενος, καί ἐγκρατείᾳ ὡραϊζόμενος. Ξένος καί πάροικος, ἐπί γῆς δεικνύμενος, ὅθεν καλῶν εὗρες τήν ἀπόλαυσιν Θεομακάριστε.

Ἥλιον ὥσπερ πολύφωτον, τῶν ἀρετῶν τῷ φωτί, καί θαυμάτων ταῖς λάμψεσι, εὑρηκώς Γεράσιμε, ἐν ἐρήμῳ διώδευσας, καί τοῖς θηρίοις συνδιαιτώμενος. Τούτους προστάξας, εἰς τό δουλεύειν Σοι, ὡς θαυμαστός Θεός, ὑπάρχει ὁ Κύριος, ὁ θῆρας νῦν, ὥσπερ λογικούς βροτούς, καθυποτάξας σαφῶς.

www.tezaurliturgic.ro



### Δόξα Ἦχος Δ'

Ὅσιε πάτερ, παμμακάριστε Γεράσιμε, τῇ θείᾳ τοῦ Παναγίου καταληφθείς Πνεύματος, πανσόφως τά τῇδε ὡς ἐπίκηρα κατέλιπες, καί τόν Σταυρόν Σου ἐπ' ὤμων ἀράμενος, τῷ καλοῦντι Σέ θερμῶς ἠκολούθησας, Χριστῷ εἰς οὐρανούς λαμπροτάταις τῶν ἀρετῶν, ἀναπτάς πτέρυξιν, ἀοίδιμε. Ἐκτενῶς οὖν Χριστῷ ἐκδυσώπει ὑπέρ τῶν πίστει τελούντων τήν παναγίαν Σου κοίμησιν.

Καί Νῦν Θεοτοκίον. Ὁ διά Σέ Θεοπάτωρ.....
Εἴσοδος. Φῶς ἱλαρόν. Ἀναγνώσματα ζήτει τῇ κ' Ἰανουαρίου.

### Εἰς τήν Λιτήν.
### Ἦχος Β'. Ἰδιόμελα.

Ἀναχωρητῶν γυμνάσιον, συγκροτήσας ἐν Ἰορδάνῃ, πάτερ Γεράσιμε. Εὐσεβείας γάρ καρπούς, ἐν αὐτῷ ἐνδειξάμενος, ρωμαλέως ἰατρεύεις δι' αὐτῶν τάς ἀσθενείας τῶν παθῶν. Λέοντα γάρ ἡμέρωσας καί τόν ἀδελφόν ἐκ νεκρῶν ἀνέστησας. Δι' ὅ πρός αὐτόν βοήσωμεν: Χαίροις τῶν ἀναχωρητῶν ὑπογραμμός, καί τῶν μιγάδων ἡ δόξα. Χαίροις πολιοῦχε τοῦ Ἰορδάνου, καί τῆς σῆς Λαύρας τό καύχημα.

### Ὁ αὐτός

Ὅσιε Πάτερ ἐκ βρέφους τῷ φόβῳ τοῦ Θεοῦ στοιχειωθείς, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος. Καί παρ' Αὐτοῦ λαβών τῶν θαυμάτων τήν ἐνέργειαν, ἔπεισας τούς ἀνθρώπους καταφρονεῖν τῶν ἡδέων. Νῦν δέ τῷ Θείῳ Φωτί, καθαρώτερον ἐλλαμπόμενος, φώτισον καί ἡμῶν τάς διανοίας, Πάτερ Γεράσιμε.

www.tezaurliturgic.ro



### Ὁ αὐτός

Ὅσιε πάτερ ὡς πόλιν ζῶντος Θεοῦ, εὔφραναν τήν ἱεράν Σου ψυχήν, τοῦ ποταμοῦ τά ὁρμήματα, τοῦ ὕδατος τῆς αἱρέσεως, τοῦ διελθόντος τόν Ἰορδάνην, καί πᾶσι τοῖς πέρασι, τῆς εὐσεβείας τόν λόγον πληρώσαντος, Χριστοῦ, τοῦ Θεοῦ. Ὅν ἱκέτευε, παμμάκαρ Γεράσιμε, τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

### Ἦχος δ΄

Ὅσιε παμμακάριστε Γεράσιμε, ἀσκήσεως γενόμενος ἐνδιαίτημα καί Θεῷ εὐηρέστησας μέγας ὡς εἰκός ἐν ὁσίοις ἐχρημάτισας πατράσι. Δι᾽ ὅ ἐθαυμαστώθης ἐκ Θεοῦ, καί ἐξ ἀνθρώπων ἔτυχες δόξης. Λέων σε ᾐδέσθη τά τῆς φύσεως ἀποβαλλόμενος, ἡμεῖς δέ σοί τόν ὕμνον προσᾴδοντες, ἐκτενῶς βοῶμεν. Κύριε ὁ θαυμαστώσας τούς ὁσίους Σου, ταῖς αὐτῶν ἱκεσίαις ἐλέησον ἡμᾶς.

### Ἦχος α΄

Ὅσιε πάτερ Θεοφόρε Γεράσιμε, μεγάλως ἠγωνίσω ἐν τῇ προσκαίρῳ ζωῇ ἐν ὕμνοις καί νηστείαις καί ἀγρυπνίαις. Ἡσυχαστικῶς τόν βίον ἐξετέλεσας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, παρ᾽ αὐτοῦ λαβών τῶν θαυμάτων τήν ἐνέργειαν. Καί νῦν ἐν οὐρανοῖς μετ᾽ ἀγγέλων χωρεῖς παριστάμενος, ἐκτενῶς ἱκέτευε, ὑπέρ τῶν ἐν πίστει καί πόθῳ τελούντων τήν σεβάσμιον μνήμην σου.

### Δόξα. Ἦχος πλάγιος Β΄.

Πανοσίδιμε πάτερ ὁσιώτατε Γεράσιμε, ὁσίων καύχημα, ἀσκητῶν ἐγκαλλώπισμα, ἐξ ἁπαλῶν ὀνύχων, τήν τῆς ἀρετῆς προελόμενος τρίβον, εἰς τήν αὐτῆς ἀνέδραμες ἀκρότητα, ὡς ἄγγελος ἐπί γῆς βιοτεύσας. Δι᾽ ὅ ἐν τοῖς οὐρανοῖς σύν ἀσωμάτοις συναγαλλόμενος, ὡς τόν βίον αὐτῶν, ἐν σώματι μιμησάμενος. Ἐκτενῶς σύν αὐτοῖς ἱκέτευε, Χριστόν τόν Θεόν τοῦ ρυσθῆναι ἡμᾶς, ὁρατῶν καί ἀοράτων δυσμενῶν, καί σωθῆναι τάς ψυχάς ἡμῶν.

www.tezaurliturgic.ro



### Καί Νῦν Θεοτοκίον.
### Θεοτόκε, Σύ εἶ ἡ ἄμπελος ἡ ἀληθινή...
### Ἀπόστιχα.
### Προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου Σέ νεκρόν. Ἦχος β'

Κόσμου καί πατρίδος ἐκφυγών, ἐν τῷ Ἰορδάνῃ ἀσκήσας, τόν νοῦν ἐφύλαξας, μή περιπλανώμενον, μηδέ ρεμβόμενον, ταῖς τοῦ βίου συγχύσεσι καί ταῖς τρικυμίαις, ἀλλ' ἀνατεινόμενον καί ἄνω βλέποντα. Πόθῳ πρός τόν ἄνω Δεσπότην, πρός τόν Εὐεργέτην τῶν ὅλων, ἀξιομακάριστε Γεράσιμε.

### Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Ἔξω τῆς τοῦ κόσμου ταραχῆς, πάτερ διεξάγων τόν βίον, παθῶν ἐλεύθερος, γέγονας τῇ χάριτι περιφρουρούμενος. Καί δαιμόνων τάς φάλαγγας, ἀσκήσει συντόνῳ καί θείαις ἀστράψεσι καταστρεψάμενος. Χαίρων σύν ἀγγέλοις χορεύεις περί τόν Παντάνακτα καί Κύριον.

### Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ἔζης ἔξω κόσμου καί σαρκός, ὑπέρ τά ὁρώμενα πάντα, ὡς τήν ἀόρατον, δόξαν ἐνθυμούμενος καί φανταζόμενος τῆς ἐπουρανίου, καί τήν ὡραιότητα τήν ἀκατάληπτον. Ἧς νῦν ἐμφορούμενος σῶσαι, τούς πιστῶς τιμῶντας σέ δούλους, τόν Χριστόν δυσώπησον, Γεράσιμε.

### Δόξα Ἦχος γ'

Ἑορτή σεβάσμιος καί φαιδρά, τοῦ θεόφρονος ἡμῖν ἐπέλαμψε, Γερασίμου. Οὗ τῶν πνευματικῶν ἀγώνων ὀσμή, τῶν πιστῶν κατευοδιάζουσα ψυχάς, ἐν καιρῷ τῆς ἐγκρατείας, πρός πνευματικούς θαυμασίως προτρέποντες ἀγῶνας. Πρός αὐτόν οὖν βοήσωμεν· Ἁγιώτατε πάτερ, ἀξίωσον ἡμᾶς εὐμαρῶς, τό τῆς νηστείας διανῦσαι στάδιον, καί αἰωνίου τεύξασθαι χαρμονῆς, πρός Κύριον πρεσβείαις σου.

www.tezaurliturgic.ro



## Καί Νῦν Θεοτοκίον

Θεοτόκε, ἡ προστασία, πάντων τῶν δεομένων, εἰς σέ θαρροῦμεν, εἰς σέ καυχώμεθα, ἐν σοί πᾶσα ἡ ἐλπίς ἡμῶν ἐστί. Πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι ὑπέρ ἀχρείων δούλων σου.

## Ἀπολυτίκιον Ἦχος δ'
## Πρός τό Ταχύ προκατάλαβε

Ἀσκήσας, Γεράσιμε, ἐν Ἰορδάνῃ στερρῶς, τόν καύσωνα ἔφερες ἐν καρτερίᾳ σοφέ, καί πᾶσαν κακοπάθειαν. Λέων σοι ὑπετάγη, καί ἐκόμιζεν ὕδωρ, νεκρόν ἐγείρεις, ἀδελφόν παραδόξως. Δι' ὅ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

## Καί Νῦν Θεοτοκίον.

Τό ἀπ' αἰῶνος ἀπόκρυφον.............................................



www.tezaurliturgic.ro



# ΕΙC ΤΟΝ ΟΡΘΡΟΝ

**Μετά τήν α' στιχολογίαν Κάθισμα. Ἦχος πλάγιος δ'.**
**Τήν Σοφίαν καί Λόγον.**

Τούς θορύβους τοῦ βίου καταλιπών, τόν Σταυρόν Σου ἐπ' ὤμων ἀναλαβών. Ὅλον ἀνατέθεικας σεαυτόν τῷ Κυρίῳ σου καί σαρκός ἔξω, πάτερ, τοῦ κόσμου γενόμενος, τοῦ Ἁγίου γέγονας συνόμιλος Πνεύματος. Ὅθεν καί πρός ζῆλον, τούς λαούς διεγείρων, τάς πόλεις ἐκκένωσας, καί ἐρήμους ἐπόλισας, Θεοφόρε Γεράσιμε. Πρέσβευε Χριστῷ, τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

**Δόξα Ἦχος πλάγιος α'. Τόν Συνάναρχον Λόγον.**

Τόν ἀσκητήν τοῦ Κυρίου, ὕμνοις τιμήσωμεν, ὡς νεκρώσαντα πάσας τάς προσβολάς τῶν παθῶν, δι' ἐγκρατείας καί στερρᾶς ὑπομονῆς ἀληθῶς, καί καταισχύναντα αἰσχρῶς, τόν ἀντίπαλον ἐχθρόν. Καί πάσας τούτου ἐπάρσεις, καί νῦν πρεσβεύει τῷ Κυρίῳ ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

**Καί Νῦν Θεοτοκίον.**

Πολυτρόπως, Παρθένε, Χριστόν παρώργισα, διανοίᾳ καί λόγῳ ἔργοις καί πράξεσι. Καί φοβοῦμαι τό ἐκεῖ φρικτόν κριτήριον. Ἀλλά προφθάσασα· ταχύ, ἐκλύτρωσαί με τῶν δεινῶν, τῇ μητρικῇ σου πρεσβείᾳ, καί πρός Θεόν παρρησίᾳ τόν σόν ἱκέτην Θεογεννήτρια.

www.tezaurliturgic.ro



## Μετά τήν β' Στιχολογίαν Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Τήν πτωχείαν Ἰησοῦ, ἐπιποθήσας σεαυτῷ πλοῦτον ἔλιπες φθαρτόν, καί δόξαν ῥέουσαν σοφέ. Καί τόν Σταυρόν σου ἐπ' ὤμων ἀράμενος, τρίβον τήν στενήν, χαίρων διήνυσας, οἰκεῖος ὤφθης τῷ κτίστῃ σου. Δι' ὅ τυγχάνεις ἐν παρρησίᾳ, Ὅσιε πάτερ Γεράσιμε.

## Δόξα Ἦχος α'. Τόν τάφον Σου, Σωτήρ.

Ἐκόσμησας ψυχήν, ἀρετῶν ἐργασίᾳ Γεράσιμε σοφέ, βιοτεύσας ὁσίως, ὡς πρᾷος καί ὡς ἄκακος, καί ποιμήν ἀληθέστατος, πορευόμενος κατά τόν νόμον Κυρίου. Ὅν ἱκέτευε, πάσης ἀνάγκης ῥυσθῆναι, τούς πόθῳ ὑμνοῦντας σε.

## Καί Νῦν Θεοτοκίον

Παρθένος ἀληθῶς, πρό τοῦ τόκου, Παρθένε, Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε. Παρθένος ἀειπάρθενος, μετά τόκον διέμεινας, καί Παρθένον Σε ὁμολογοῦμεν, Παρθένε, καί ἐλπίζομεν, ἐν Σοί, Παρθένε, σωθῆναι, Παρθένων τό καύχημα.

## Μετά τόν Πολυέλαιον Κάθισμα. Ἦχος πλάγιος δ'. Τήν Σοφίαν καί Λόγον.

Τούς ἱδρῶτας καί πόνους τούς σούς, σοφέ, νοερῶς, θεωροῦντες πάντες πιστοί, πάσης κατανύξεως τάς ψυχάς ἐμπιμπλάμεθα. Κάι πρός θείους ὕμνους καί δόξαν καί αἶνεσιν, τοῦ Δεσπότου τῶν ὅλων, παμμάκαρ Γεράσιμε, πόθῳ ἐγκαρδίῳ ἑαυτούς συγκινοῦμεν, ᾠδαῖς σέ γεραίροντες καί πιστῶς ἐκβοῶντες σοι, ὡς Κυρίου θεράποντι. Πρέσβευε Χριστῷ, τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τήν ἁγίαν μνήμην σου.

www.tezaurliturgic.ro



Δόξα Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῷ φωτί λαμπόμενος, τῷ ἀπροσίτῳ, ὡς ἀστήρ ἐξέλαμψας, ἐν Ἰορδάνῃ διδαχαῖς, καταφωτίζων, Γεράσιμε, τούς ἀδιστάκτῳ ψυχῇ προσιόντας σοι.

Καί Νῦν Θεοτοκίον.

Χαῖρε θρόνε πύρινε, τοῦ Βασιλέως, καί λυχνία πάγχρυσε, φωτός τοῦ θείου τάς ψυχάς, καί διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων, Σέ, Κόρη Πανύμνητε.

Οἱ Ἀναβαθμοί, Τό α' ἀντίφωνον τοῦ δ' ἦχου.
Προκείμενον, ἦχος δ'

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περί πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

Πᾶσα πνοή. Εὐαγγέλιον ὁσιακόν.

**Ὁ Ν' Ψαλμός (Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός......)**
**Δόξα Ταῖς τοῦ Σοῦ ὁσίου ...........**
**Καί Νῦν Ταῖς τῆς Θεοτόκου ...........**
**Εἶτα Ἰδιόμελον τοῦ ὁσίου. Ἦχος Πλάγιος Β'**

Ἐστίχος ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου.

Τῶν ἀσκητῶν ἡ καλλονή, καί τῶν μιγάδων ἡ δόξα, τό κλέος τῶν πατέρων, καί τῶν ἐγκλείστων ἀντιλήπτορα μέγιστον, συνελθόντες σήμερον, ἀσκητικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες. Χαίροις, ὁ τῆς ἐρήμου στῦλος, καί βάσις ἀσφαλής, καί σῆς Λαύρας τό καύχημα. Χαίροις τό φῶς τό ὑπέρλαμπρον, ὁ τήν ἑώαν ἅπασαν διαλάμπων τοῖς θαύμασιν. Χαίροις τῶν πενθούντων, ἡ θεία χαρμονή, καί τῶν ἐν σπηλαίοις ὁδηγός τε καί προστάτης. Καί νῦν, Γεράσιμε ἔνδοξε, μή παύσῃ πρε-

www.tezaurliturgic.ro



σβεύων Χριστῷ τῷ Θεῷ ὑπέρ τῶν ἐκτελούντων, τήν πανέορτον μνήμην Σου.

Οἱ Κανόνες τῆς Θεοτόκου μετά τῶν εἱρμῶν εἰς ς', καί οἱ τοῦ Ἁγίου εἰς η'. Ὁ Κανών τῆς Θεοτόκου, οὗ ἡ μέθοδος τοιαύτη: Ἐν τῷ α' τροπαρίῳ ἑκάστης ᾠδῆς δέεται ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον. Ἐν τῷ β' δέεται ἡ Θεοτόκος πρός τόν Χριστόν, ἐν τῷ γ' ἀποκρίνεται ὁ Χριστός πρός τήν Θεοτόκον καί ἐν τῷ δ' ἀποκρίνεται ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν, κατά μίμησιν Θεοδώρου τοῦ Στουδίτου, ὑπό ἀνωνύμου δέ καί φέρον ἀκροστιχίδα:

**Δός μοι δάκρυα μετανοίας, Παρθένε.**

**Ὠ, δή α' Ἦχος πλάγιος Β'. Κανών τῆς Θεοτόκου.**

**Ὁ Εἱρμός.**

«Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι διώκτην τύραννον, ὑπό γῆν ἔκρυψαν τῶν σεσῳσμένων οἱ παῖδες. Ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γάρ δεδόξαται.»

**Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον.**

Δέσποινα προσδέχου, ἐκ ρυπαρᾶς καρδίας, θρῆνον, Πανάμωμε, καί ρύπου πλῦνον με, παθῶν τῆς δυσωδίας. Καί τῷ Υἱῷ Σου πρέσβευσον, ἵνα πυρός με ρύσηται, τοῦ ἀφεγγοῦς, ὦ Θεόνυμφε.

**Ἡ Θεοτόκος πρός τόν Χριστόν.**

Δοῦλος Σου υἱέ μου, βοᾷ ἐκ καρδίας καί ἱκετεύει μοι, ρυσθῆναι κολάσεως, καί τυχεῖν Σῆς Βασιλείας. Δέξαι ἡμετέραν δέησιν, και ἀξίωσον αὐτόν τῆς οὐρανίου Βασιλείας Σου.

**Ὁ Χριστός πρός τήν Θεοτόκον**

Σύ, Μῆτερ γιγνώσκεις, πηγήν ἐλέους, καί τούς καθ' ὥραν μοι, πταίοντας ἐλεῶ. Ἀλλ' οὗτος μέ παραπικραίνει, καθ' ἑκάστην ἡμέραν, ἐν πολλοῖς καί αἰσχροῖς πάθεσιν.

www.tezaurliturgic.ro



Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Μυρίαις ἀτοπίαις δουλεύων κακίαις, καί αἰσχροῖς πάθεσιν, εἰς ἀγανάκτησιν κεκίνηκας τόν Υἱόν μου. Καί ὀργισμένος κατά σοῦ ἐστιν, ὁ Πολυέλεος, καί μόνος Πολυεύσπλαγχνος.

Ὁ κανών τοῦ Ἁγίου Γερασίμου. Ἦχος καί εἱρμός ὁ αὐτός.

Δέξαι ἐκ χειλέων, ἀσώτων τόν ὕμνον, πάτερ Γεράσιμε, Μοναστῶν καύχημα, ἐκ ψυχῆς τε καί πόθου. Καί παθῶν με θεράπευσον, ὁ θεραπεύσας τόν πόδα, ἐν Ἰορδάνῃ τοῦ Λέοντος.

Ὅλος ἀπό βρέφους, Θεῷ ἀνετέθης, πάτερ Γεράσιμε, Μακαριώτατε, ἐν Ἰορδάνῃ ἀσκήσας, πρός ἀγῶνας ηὐτομόλησας, τόν παλαμναῖον, ἔνδοξε, τελείως κατεπάτησας.

Δόξα Πατρί .................

Φέγγε ἀνεσπέρῳ λαμπόμενος, μάκαρ τοῦ Θείου Πνεύματος, φωτίζεις ἅπαντας, τούς προστρέχοντας ἐν πίστει, καί ἀγάπῃ πάτερ ἔνδοξε. Κἀμέ νῦν φώτισον, Γεράσιμε, πρεσβείαις Σου.

Καί νῦν ............................

Ἡ τῶν ἀνελπίστων, ἐλπίς καί προστάτις ἡ ἀκαταίσχυντος, τάς οὐρανίους πύλας μοι, διανοίξασα προσάγαγε, τῷ Υἱῷ Σου, Δέσποινα, καί σῶσον με, τόν ἄθλιον.

ΚΑΤΑΒΑΣΙΑ Ἀνοίξω τό στόμα μου.
Ὠ, δή γ'. Ὁ Εἱρμός.

«Σέ τόν ἐπί ὑδάτων, κρεμάσαντα πᾶσαν τήν γην ἀσχέτως, ἡ κτίσις κατιδοῦσα ἐν τῷ Κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο, οὐκ ἔστιν ἅγιος, πλήν Σοῦ, Κύριε κραυγάζουσα».

www.tezaurliturgic.ro



### Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον

Ὅλον ἐν τῇ κακίᾳ, ἠνάλωσα τόν καιρόν τῆς ζωῆς μου, καί διά τοῦτο Σοί κράζω: Παναγία, Δέσποινα, τόν Υἱόν Σου δυσώπησον, ἵνα σώσῃ με τόν ἄσωτον ὡς εὔσπλαγχνος.

### Ἡ Θοτόκος πρό τόν Χριστόν

Ἵλαθι, Παντάναξ, ὁ ἐκ μήτρας μου τεχθῆναι εὐδοκήσας, ὡς τόν ἄσωτον πάλαι, τόν Σόν δοῦλον κατοικτίρησον, καί ἐν ἡμέρᾳ κρίσεως, μερίδος δεξιᾶς, παραστάτην δεῖξον, Κύριε.

### Ὁ Χριστός πρός τήν Θεοτόκον

Πάλιν ἐγώ, ὦ Μῆτερ, ἐπακοῦσαι μου νουνεχῶς ἐκβοῶ σοι. Ὁ ἀσώτως βιώσας, ἐν μετανοίᾳ ἐλθών ἔκραε, ἐκ βάθους ψυχῆς τό ἥμαρτον. Ἀλλ' οὗτος κἄν Σοί βοᾷ ἐν ὑστέροις ψεύδεται.

### Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν

Ἅμοι ἔφης, εἶπον τοῦ Υἱοῦ μου, ἵνα σέ ἀξιώσῃ τῆς Αὐτοῦ Βασιλείας, ἀλλ' Αὐτός μοι ἀντέφη: Θερμῇ πίστει οὐ προσῆλθέ μοι, καί διά τοῦτο ἐκπέμπω αὐτόν τοῦ προσώπου μου.

### Τοῦ Ἁγίου. Εἱρμός ὁ αὐτός

Ἔχει Σε πᾶς ὁ κόσμος, Γεράσιμε, προστάτην ἐν κινδύνοις. Καί πᾶς πιστός ὑμνεῖ Σε, καί πᾶς μονάζων δοξάζει Σε. Ἐξόχως δέ ἡ ποίμνη Σου, βλέπουσα πάντοτε, τούς ὑπερφυεῖς ἀγῶνας Σου.

Λύσας τῆς προσπαθείας, τά θήρατρα, πατρίδος ἐπισήμου, τῶν γονέων φίλτρον, εἰς οὐδέν λογισάμενος, μόνῳ Θεῷ ᾠκείωσας, πάτερ Γεράσιμε, μοναζόντων ἀγαλλίαμα.

www.tezaurliturgic.ro



Δόξα Πατρί ..............

Βλέφον οὐρανόθεν, καί ἴδε Σου τά τέκνα ἀθροισθέντα, ἐν τῇ σεπτῇ Σου Λαύρᾳ, ἐκ ψυχῆς Σοί προσπίπτοντα, τά τούτων αἰτήματα εὐσπλάχνως πλήρωσον, πάτερ ἔνδοξε Γεράσιμε.

Καί Νῦν ..... Θεοτοκίον.

Δέσποινα, Θεοτόκε, Μητρόθεε, σῷζε τούς Σέ ὑμνοῦντας, καί πάσης ἄλλης ζάλης· ἀραβικῆς γάρ κακώσεως, ὡς ἀγαθή ἐκλύτρωσαι, ἡμᾶς τούς δούλους Σου, ὡς οὖσα προστάτις ἡμῶν.

ΚΑΤΑΒΑΣΙΑ Τούς σούς ὑμνολόγους
Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Σκεῦος εὔχρηστον τῆς σωτηρίας, πλοῦτος ἄσυλος τῆς μετανοίας, ἀνεδείχθης, πάτερ Γεράσιμε. Ἐν ἀπαθείᾳ φαιδρύνας τόν βίον Σου, τοῖς Σοῖς τέκνοις ἀντλήσας τό ἔλεος, ἀξιομακάριστε.

Δόξα, Ἦχος Πλάγιος Α'. Τόν Συνάναρχον Λόγον.

Τήν τοῦ κόσμου ἀπάτην ἀπαρνησάμενος, τόν Σταυρόν τοῦ Κυρίου ἀναλαβόμενος, ἀσκητικῶς τόν πονηρόν, κατεπάλαισας, τῆς ἐρήμου πολιστής, φωστήρ τοῦ κόσμου νοητός, Γεράσιμε, ἀνεδείχθης. Δι' ὅ πρέσβευε τῷ Σωτῆρι, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί Νῦν, Θεοτοκίον.

Ἵνα τί ῥαθυμοῦσα, ψυχή ταλαίπωρε, ἐπελάθου Δεσπότου, τοῦ ἐλεοῦντος σε, καί τῶν προστάξεων Αὐτοῦ κατεφρόνησας, ἐν ἀσελγείᾳ τήν ζωήν, διατελεῖς φρενοβλαβῶς. Ἀπόστηθι τῆς κακίας, τῇ Θεοτόκῳ βοῶσα, σῶσον με ταχέως τήν ταλαίπωρον.

www.tezaurliturgic.ro



## Ὠ, δή δ'. Ὁ Εἱρμός.

«Τήν ἐν Σταυρῷ Σου θείαν κένωσιν, προορῶν Ἀββακούμ, ἐξεστη-κώς ἐβόα. Σύ δυναστῶν διέκοψας κράτος, Ἀγαθέ, ὁμιλῶν τοῖς ἐν Ἅ, δη ὡς Παντοδύναμος».

## Ὁ Ἁμαρτωλός πρός τήν Θεοτόκον.

Λῦσαι με, Παρθένε, τόν ἄθλιον, εἰ καί μετάνοιαν ὅλως θερμήν οὐκ ἔχω. Ἀλλά δίδου μοι διόρθωσιν, ταῖς Σαῖς ἱκεσίαις, πρός τόν Υἱόν Σου, Πανάμωμε.

## Ἡ Θεοτόκος πρός τόν Χριστόν.

Θεέ μου, ἐκτενῶς ἐπάκουσον, βοώσης Σου Μητρός. Καί λύτρωσαι Σόν δοῦλον, εἰ δέ καί πίστιν οὐ κέκτηται τελείαν, ταύτην ὡς Θεός αὐτῷ δώρησαι.

## Ὁ Χριστός πρός τήν Θεοτόκον.

Ἐγώ καιρόν αὐτῷ δέδωκα σωθῆναι, ἀλλ' οὐκ ἐᾷ αὐτός τάς ἁμαρτίας, καί εἰσῆλθεν ἐν θανάτῳ ἕως καί εἰς πῦρ ἀπελεύσεται τό αἰώνιον.

## Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Νῦν ἐπιγινώσκω τήν σεαυτοῦ, ὡς φησίν ὁ θεῖος Υἱός μου καί Δεσπότης. Σύ γάρ κατάκεισαι τῇ ἁμαρτίᾳ, τίς γάρ ἐξαναστήσει σε οὕτω κείμενον;

www.tezaurliturgic.ro



Τοῦ Ἁγίου. Εἱρμός ὁ αὐτός.

Ὑπερεκπλήττει πᾶσαν ἔννοιαν, τῶν ἄθλων τῶν σῶν ὦ Πάτερ καρτερία, ἡ στένωσις τῆς κέλλης Σου, καί ὁ συγκλεισμός σύν τῇ πείνῃ καί δίψῃ καί λύπῃ ὅσιε.

Φύλαξ και σκέπη καί ὀχύρωμα, καί προστάτης θερμός, τῶν Μοναχῶν ἐδόθης, παρά Θεοῦ Γεράσιμε. Φύλαξον ἐκ' κινδύνων καί νῦν, τήν ποίμνην Σου, πάτερ πανθαύμαστε.

Δόξα Πατρί..................

Ἐν πειρασμοῖς καί περιστάσεσι, τούς σούς δούλους ἀεί, τούς Σέ προσκαλουμένους μή παρίδῃς ὅσιε. Ἀλλ' ὡς συμπαθής πᾶσι, δίδου συνήθως τά καταθύμια.

Καί Νῦν, Θεοτοκίον.

Δεξαμένη ἐν τῇ μήτρᾳ Σου, τῆς θεότητος πῦρ, Ἁγνή, καί μή φλεχθεῖσα, πυρός με, Κόρη λύτρωσαι. Δέξαι δέ ἡμᾶς, καί τῆς θείας ἐκείνης ζωῆς ἀξίωσον.

ΚΑΤΑΒΑΣΙΑ. Τήν ἀνεξιχνίαστον.
Ὠ, δή ε'. Ὁ Εἱρμός.

«Θεοφανείας Σου, Χριστέ, τῆς πρός ἡμᾶς συμπαθῶς γενομένης, Ἠσαΐας φῶς ἰδών ἀνέσπερον, ἐκ νυκτός ὀρθρίσας ἐκραύγαζεν: Ἀναστήσονται οἱ νεκροί, καί ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καί πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται».

Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον.

Ἐπί τάς τρίβους ἀγαπῶ πάντοτε διατρίβειν, τάς φερούσας με πρός οὐράνιον καί βασιλείαν ἀτελεύτητον. Ἀλλ' αὖθις τά τῶν δεινῶν

www.tezaurliturgic.ro



δαιμόνων συστήματα, καθέλκουσί με κρημνίσαι τελείως σου είς κρημνόν καί βαθύ βόρβορον.

### Ἡ Θεοτόκος πρός τόν Χριστόν.

Δέξαι δέησιν ἐμήν, Σέ δυσώπω, Πανάγαθε Υἱέ μου, καί ἐκ δαιμόνων σῶσον τόν δοῦλον Σου, καί παθῶν αὐτόν ἐλευθέρωσον. Αὐτοί γάρ οὐκ ἐῶσιν οὐδένα πώποτε, ἵνα μετανοήση καί κλαύση τά πλήθη τῶν πταισμάτων αὐτοῦ.

### Ὁ Χριστός πρός τήν Θεοτόκον.

Ἄκουσον, Μῆτερ Σοί βοῶ, τά παμπόνηρα πλήθη τῶν δαιμόνων, ἐν προσευχῇ και νηστείᾳ ἐξέρχονται. Ἀλλ' οὗτος μή καθάρας τό σῶμα ἐν ἐγκρατείᾳ, δεήσει καί ἀγνείᾳ, φεῦ, γέγονε τῶν δαιμόνων σπήλαιον καί παθῶν κατοικητήριον.

### Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Καλῶς ἐνωτίζου τῶν πρίν ρημάτων τοῦ Υἱοῦ μου καί γνῶθι, ἡνίκα γάρ οἱ τούτου Μαθηταί, τό πνεῦμα διῶξαι οὐκ ἴσχυσαν, ἐβόα τοῦτο λέγων. Ἐν προσευχῇ καί νηστείᾳ, ἐξέρχεται τό γένος τῶν δαιμόνων, ποίησον καί σύ οὕτως, ἵνα ρυσθῇς τῆς αἰωνίου κολάσεως.

### Τοῦ Ἁγίου. Εἱρμός ὁ αὐτός.

Οἰκοδομῶν τόν ἱερόν οἶκον τῆς ἀρετῆς, ὦ μακάριε, καί ναόν γάρ πάτερ, ὑπερπανθαύμαστον, τῇ μητρί Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, λίθους δέ τιμίους, τούς γάρ Σου μαθητάς, προσανέθου τῇ Λαύρᾳ ξένον κειμήλιον.

Φαεινοτάταις ἀστραπαῖς, τῶν διδαχῶν, πάτερ κατεφώτισας, οὐ Λυκίας μέρος τό βραχύτατον, οὐ τοῦ Ἰορδάνου, ὅν ᾤκησας, ἀλλά πᾶσαν ὡς ἀληθῶς ἑώαν, ὅσιε ἤστραψας τῷ βίῳ, τῷ λόγῳ καί τῇ ἀσκήσει, ἥν ὑπέμεινας.

www.tezaurliturgic.ro



Δόξα Πατρί καί Υἱῷ...........

Ὑποπιάζων τῆς σαρκός, καί τά τοῦ νοῦ χαλινῶν σκιρτήματα, τοῦ θηρός τόν πόδα ἐθεράπευσας, καί τόν ἀδελφόν ἐκ νεκρῶν ἀνέστησας. Καί ἀσπασάμενος αὐτόν, εἶπες αὐτῷ, τέκνον, ὡς καί πρίν πάλιν κοιμήθητι.

Καί Νῦν, Θεοτοκίον.

Ποία γλῶσσα ἐξειπεῖν, Παρθένε τό ἐπί Σοί μυστήριον. Ὁ τῶν ὅλων Κύριος καί Πλάστης μου, πλαστουργεῖται θέλων νηδύι Σου. Ὢ τοῦ θαύματος τοῦ καινοῦ! ὁ ἀγαθότητι στήσας τούς αἰῶνας, δανείζεται γάρ ἐκ Σοῦ Ἀδάμ τό φύραμα.

ΚΑΤΑΒΑΣΙΑ Ἐξέστη τά σύμπαντα.
Ὠ, δή ς΄. Ὁ Εἱρμός.

«Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου, πρός τόν οἰκτίρμονα Θεόν, καί ἐπήκουσέ μου, ἐξ Ἅ, δου κατωτάτου, καί ἀνήγαγεν ἐκ φθορᾶς τήν ζωήν μου».

Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον.

Ῥημάτων καί ἔργων ἀπορῶ, οὐ γάρ στέργω ἐκτελεῖν, Θεόνυμφε, προσευχήν καί νηστείαν, καί διά τοῦτο πρός Σέ καταφεύγω.

Ἡ Θεοτόκος πρός τόν Χριστόν.

Υἱέ μου ἐκδυσωπούσης τῆς Μητρός, πρόσχες. Ὁ προστρέχων εἰς ἐμέ, ἀπορεῖ ἀρετῶν καί διά τοῦτο κράζει, οὐκ ἔχω, πλήν Σοῦ, Δέσποινα Ἁγνή.

www.tezaurliturgic.ro



### Ὁ Χριστός πρός τήν Θεοτόκον.

Ἄκουσόν μου, Μῆτερ, καί λιτανεύουσα παῦσον τοῦ παρακαλεῖν με θερμῶς. Καί γάρ οὗτος ἀφορῶν, ὅτι εὔσπλαγχνός εἰμί, μολύνεται καί καθ' ἑκάστην μέ παροργίζει.

### Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Μή παύσας τόν Υἱόν μου ἕως νῦν, ἱκετεύων τοῦ τυχεῖν σε, ἱλασμοῦ· ἀλλ' οὗτος πάλιν τοῦ παύσασθαι μοί λέγει καί μή πρεσβεύειν διά τήν σήν σωτηρίαν.

### Τοῦ Ἁγίου. Ὁ Εἱρμός. «Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη...»

Ἐν τῇ θείᾳ μνήμῃ Σου, Παμμάκαρ, πόθῳ ἀθροισθέντες, ἡμεῖς, πιστῶς Σοι ἐξαιτοῦμεν, πάντων πλήρωσον τάς παρακλήσεις, σβέσον ταῖς πρεσβείαις Σου, παρεχόμενος πᾶσι γαλήνην, χάριν καί ἔλεος, ρῦσαι δέ ἡμᾶς καί ἐκ τῶν πειρασμῶν, πάτερ Γεράσιμε.

Καθηλώσας φόβῳ Σου τάς σάρκας, πάτερ, θεράπων τοῦ Χριστοῦ, κατέκλεισας ὅλον σεαυτόν ἐν σμικροτάτῃ κέλλῃ τόν νοῦν ἐτήρησας, πάτερ Γεράσιμε, τῷ γάρ κρείττῳ νίκας, ὑποτάξας δέ τό χεῖρρον, ὅσιε πνεύματι, λαμπρόν καί θεῖον ἀνεδείχθης ἐνδιαίτημα.

### Δόξα Πατρί ............

Τοῦ θανάτου θέμενος τήν ὥραν, πάτερ ἡμέρας καί νυκτός, τροφήν ἡγήσω πεῖναν, τήν ταπείνωσιν καί ἀδοξίαν πλοῦτον, δόξαν, γένους τήν ἀφάνειαν, λαμπρότητα τήν σωφροσύνην, στάσιν παννύχιον, γνῶσιν πνευματικήν, φόβον εἰς Θεόν και καθαρότητα.

www.tezaurliturgic.ro



### Καί Νῦν..................

Ὡς λιμένα τῇ θείᾳ Σου σκέπῃ, πάντες εἰσέλθωμεν, Ἁγνή, οἱ ἐν βυθῷ πταισμάτων, ἐν τῇ θείᾳ Σου μνήμῃ Παρθένε, ρῦσαι κινδύνων χαλεπῶν τούς δούλους Σου, χεῖρα ἄνοιξον τῆς Σῆς πρεσβείας, ἄχραντε Δέσποινα, καί πρός θείαν ζωήν ἴθυνον ἡμᾶς, τούς προσκυνοῦντας Σε.

### ΚΑΤΑΒΑΣΙΑ. Τήν θείαν ταύτην.
### ΚΟΝΤΑΚΙΟΝ

### Ἦχος πλάγιος Δ΄. Τῇ Ὑπερμάχῳ.

Ὡς Ἰορδάνου οἰκιστήν καί πολιοῦχον, καί ἀναχωρητῶν ὑπογραμμόν καί τῶν μιγάδων, εὐφημοῦμεν Σέ ἡ ποίμνη Σου, Θεοφόρε. Ἀλλ' ὡς ἔχων παρρησίαν πρός τόν Κύριον, ἐξ ἐχθρῶν ἐπεμβαινόντων ἡμᾶς φρούρησον, ἵνα κράζωμεν, Χαίροις πάτερ Γεράσιμε.

### Ο ΟΙΚΟΣ

Στόμα συνέσεώς μοι, παράσχου ὁ Προάναρχος Λόγος, βούλομαι ὑμνεῖν τόν Σόν θεράποντα Γεράσιμον. Ἔχεις γάρ πλοῦτον εὐσπλαγχνίας, ἐν ἀπείρῳ Χριστέ μου, πελάγει τῶν Σῶν κριμάτων ἵνα κἀγώ τῆς ψυχῆς τό ζοφῶδες καθαρθῇ, τοῦ νοῦ δέ πᾶσαν κηλίδα ἀποσμήξας καί ναός ἁγιάσματος τοῖς θείοις ἔργοις γενόμενος, ἐπαξίως βοήσω τῷ Σῷ ὁσίῳ: Χαίροις, Πάτερ Γεράσιμε.

www.tezaurliturgic.ro



Τῇ δ' Μαρτίου, μνήμη τοῦ ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Γερασίμου τοῦ Ἰορδανίτου.

Ὑπηρέτης θήρ τῷ Γερασίμῳ γέρας
θῆρας παθῶν κτείναντι πρός λῆξιν βίου.
Τῇ δέ τετάρτῃ Γεράσιμος βιότοιο ἀπέπτη

Τό συναξάριο τῆς ἡμέρας

Ἡ μνήμη του τιμᾶται τήν 4ην Μαρτίου καί πάντοτε πίπτει ἐντός τῆς Μεγ. Τεσσαρακοστῆς, τῆς περιόδου τοῦ πένθους καί τῆς κατανύξεως, πού τόσον ἠγάπα ὁ Ὅσιος καθ' ὅλον Αὐτοῦ τόν βίον. Πάντοτε δέ εἰκονίζεται μέ ἕνα λέοντα, ὁ ὁποῖος ἀφ' ὅτου ἐθεραπεύθη ὑπό τοῦ Ἁγίου, ἐγένετο πιστός καί ἀχώριστος ὑποτακτικός του, βοηθῶν εἰς τά ἔργα τῆς Μονῆς. Ἔτσι ὁ Θεός δοξάζει τούς δοξάζοντας Αὐτόν μέ τήν ζωήν τους.

Ταῖς τῶν ἁγίων Σου πρεσβείαις, Χριστέ, ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς Ἀμήν.

Ὠ, δή ζ'. Ὁ Εἱρμός.

«Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ρυσάμενος, τούς ὁσίους Παῖδας ἐκ φλογός, ἐν τάφῳ νεκρός, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων: Λυτρωτά, ὁ Θεός εὐλογητός εἶ».

Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον.

Ἐγώ Σοι κραυγάζω, πᾶσαν μου τήν ἐλπίδα, Δέσποινα, ἀνατίθημι ἐν Σοί, καί μή εἰς βυθόν ἀπώσῃς με τόν δείλαιον ἀλλ' ἐπίστρεψόν με τῷ Υἱῷ βοῶσα, μή ἀπολέσῃς τό πλᾶσμα τῶν χειρῶν Σου.

www.tezaurliturgic.ro



Ἡ Θεοτόκος πρός τόν Χριστόν.

Τῆς εὐσπλαγχνίας ὡς ἔχω ἀμέτρητον πέλαγος, Δέσποτα δέξαι μου δέησιν, καί τῶν Σῶν χειρῶν τό πλάσμα οἰκτίρησον, ὁ οἰκτιρίσας ποτέ τήν Χαναναίαν, Λυτρωτά, ὁ Θεός εὐλογητός εἶ.

Ὁ Χριστός πρός τήν Θεοτόκον.

Ἄκουσόν μου, Μῆτερ, σῴζω καί ἱλάσκομαι τόν προσερχόμενον θερμῶς, οὐ γάρ θέλω τό ἐμόν πλᾶσμα ἀπολέσαι πώποτε, εἰς τό σῶσαι γάρ ὅλος ἐκ Σοῦ ἐτέχθην, ἀλλ' οὗτος πόρρω τῶν ἔργων μου ὑπάρχει.

Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Νῦν ὁ Υἱός μου εἶπεν αὖθις ὅτι γέγονεν ἄνθρωπος, ἵνα σώσῃ τούς τό θεῖον Αὐτοῦ φυλάσσοντας Βάπτισμα καθαρώτατον, ἀλλά σύ τούτων μιμητής οὐκ ἐγένου καί οὐδέν χρηστόν ἔπραξας ἔργον.

Τοῦ Ἁγίου. Ὁ Εἱρμός, «Οἱ παῖδες ἐν Βαβυλῶνι».

Ναόν γάρ ἐδομήσω καί πηγήν ἁγιάσματος, τῇ παρθενομήτορι, καί λαόν πολύν, πάτερ συνήγαγες. Βιωτικοῦ γάρ κλύδωνος καί ἐκ παθῶν αὐτούς ἠλευθέρωσας.

Νεώσας διά νηστείας, τήν τῆς καρδίας ἄρουραν, σπόρον θεῖον ἐν γῇ τῶν δακρύων ἐγκατέσπειρας, ἅγιε. Καί νῦν χαίροις γηθόμενος εἰς αἰῶνα τόν ἀπέραντον.

Δόξα Πατρί.............

Ὑπό τόν γνόφον εἰσῆλθες, διά νηστείας, πάτερ θαυμαστέ, και ἀκοῦσαι φωνῆς τοῦ Θεοῦ, ὡς Μωυσῆς ὁ πανάριστος, νέου λαοῦ

www.tezaurliturgic.ro



προστίθεσθαι, ἐν Ἰορδάνῃ πάτερ, ὅσιε.

### Καί Νῦν ......................Θεοτοκίον

Νόμου λαθοῦσα, ὦ Κόρη, τοῦ τῆς φύσεως, τέτοκας τόν Υἱόν τοῦ Θεοῦ, Ἰησοῦν μου, καί τοῦ νόμου τόν Κύριον, τόν ποιητήν τῆς κτίσεως καί τῶν ἀγγέλων ἀρχαιότερον.

### ΚΑΤΑΒΑΣΙΑ. Οὐκ ἐλάτρευσαν.
### Ὠ, δή η΄. Ὁ Εἱρμός.

Ἔκστηθι φρίττων, οὐρανέ καί σαλευθήτωσαν τά θεμέλια τῆς γῆς. Ἰδού γάρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν καί τάφῳ σμικρῷ ξενοδοχεῖται. Ὅν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας».

### Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον.

Ὅλην μου θαρρήσας ἐν Σοί, τήν ἐλπίδα, Παρθένε, προσῆλθον θεωρῶν, τόν Υἱόν Σου πάλαι σώσαντα, τόν ληστήν καί τήν πόρνην. Αὐτοί γάρ οὐδέν ἔργον νομίμως, ἔπραξαν ἐν τῷ βίῳ, ἀλλ' ἔτυχον συγγνώμης, κάι ἠξιώθησαν τῆς θείας Βασιλείας.

### Ἡ Θεοτόκος πρός τόν Χριστόν.

Ἱλάσθητι Υἱέ ου δυσωπῶ, καί εἰσάκουσον δεομένης Σου Μητρός καί ρῦσαι τοῦτον Σου τόν δοῦλον πυρός τοῦ αἰωνίου, ὡς ἐρρύσω ληστήν καί πόρνην, καί ἀξίωσον τοῦτον, ὡς εὔσπλαγχνος τῆς αἰωνίου Βασιλείας.

www.tezaurliturgic.ro



### Ὁ Χριστός πρός τήν Θεοτόκον.

Ἁμαρτωλός ἦν ὁ ληστής, ἀλλ' ὅμως ἔκραζε τό μνήσθητι κἀμοῦ, ἡ πόρνη δέ ἔβλυζε πηγάς δακρύων. Ἀλλ' οὗτος αὐτοῖς οὐχ ὁμοιώθη, ἀλλά πάντοτε κεῖται, ἐν πάθεσι πτῶμα, καί τῶν δαιμόνων ἀεί παίγνιον ὑπάρχει.

### Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Σέσωκε τήν πόρνην ὁ Χριστός, κλαίουσαν καί δακρύων βλύζουσαν πηγάς, καί ληστήν κράζοντα, μνήσθητι κἀμοῦ. Εἰ οὖν θέλεις τυχεῖν εὐσπλαγχνίας, πρόσπεσον τῷ Κυρίῳ, σύν δάκρυσι καί πίστει, καί ἵλεώς σοι ἔσται τῶν πολλῶν ἁμαρτιῶν σου.

### Κανών τοῦ Ἁγίου. Εἱρμός ὁ αὐτός.

Ὄρος Σιών τό τοῦ Θεοῦ, ὅ γάρ κατώκησας σταλαξάτω γλυκασμόν, ρηξάτω δέ φωνήν ἡ ἔρημος, ἡ οὐκ εὐθήνουσα πρίν, τοῖς τέκνοις τοῖς Σοῖς κεκαλλωπισμένη. Χαίρει καί Ἰορδάνης ἐν τῇ μνήμῃ Σου, πάτερ, ὁ δέ λέων στυγνάζει, καί μή ὁρῶν Σε θνήσκει.

Φάνηθι πᾶσι βοηθός, τοῖς Σέ αἰτοῦσι, μοναστῶν κορωνίς, παρέχων τοῖς νοσοῦσιν ἴασιν, τοῖς ἀθυμοῦσι χάριν, τοῖς τέκνοις τοῖς Σοῖς, πάτερ εἰρήνην, τοῖς ἀσκηταῖς γαλήνην, ἀγάπην τοῖς διακονοῦσι καί τήν Λαύραν φύλαξον ἕως τέλους.

### Δόξα Πατρί καί Υἱῷ..........

Ἥλιος ἄλλος παμφαής, φωτίζει ἅπαντα τά πληρώματα τῆς γῆς, καί ρῶσιν ἀσθενοῦσιν δίδως, καί ἐκδιώκεις παθῶν τόν ζόφον και ψυχῆς ἀβλεψίαν. Δι' ὅ ἐκδυσωποῦμεν καί ἡμεῖς, τά Σά τέκνα, φώτισον λιταῖς Σου, Γεράσιμε παμμάκαρ.

www.tezaurliturgic.ro



## Καί Νῦν, Θεοτοκίον

Ἵλεον αἴτησαι ἡμῖν καί εὐδιάλλακτον, τόν Υἱόν Σου καί Θεόν, γενέσθαι, Ἁγνή τοῖς ἱκέταις Σου, καί συντήρησον ἡμᾶς ἀπό πάσης προσβολῆς ἐναντίας, καί τό τῆς Ἄναρ θράσος, καταβαλεῖν ἐν τάχει, ἵνα Σέ ὑμνοῦμεν, τήν Κεχαριτωμένην.

## ΚΑΤΑΒΑΣΙΑ. Παῖδας εὐαγεῖς.
## Ὠ, δή θ΄. Ὁ Εἱρμός.

Μή ἐποδύρου μου, Μῆτερ καθορῶσα ἐν τάφῳ ὅν ἐν γαστρί ἄνευ σπορᾶς συνέλαβες Υἱόν. Ἀναστήσομαι γάρ καί δοξασθήσομαι καί ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς Θεός, τούς ἐν πίστει καί πόθῳ Σέ μεγαλύνοντας.

## Ὁ ἁμαρτωλός πρός τήν Θεοτόκον.

Ἁμαρτωλότερος ὤφθην παρά πάντας ἀνθρώποιυς, καί διά τοῦτο αἰδοῦμαι προσελθεῖν τῷ Σῷ Υἱῷ. Ἀλλά δυσώπησον Αὐτόν καί ἵλεων ἐν θερμῇ, με τῇ πίστει, καί ἐν πόθῳ ποίησόν με δέξασθαι, τόν ταλαίπωρον.

## Ἡ Θεοτόκος πρός τόν Χριστόν.

Εἰ γάρ καί ἥμαρτε, Σῶτερ, ὁ προσπίπτων Σοι δοῦλος, μή μνησθῇς Σέ δυσωπῶ ἀνομοιῶν αὐτοῦ. Ἐπ᾽ ἐμέ γάρ προσπέφευγε καί δέομαι, δέξαι τοῦτον δι᾽ ἐμέ, Υἱέ μου γλυκύτατε, καί δώρησαι αὐτῷ τήν Βασιλείαν Σου.

## Ὁ Χριστός πρός τήν Θεοτόκον.

Ἰδού ὁ προσφυγών Σοι, οὐκ ἔστιν ἄξιος, Μῆτερ, τυχεῖν ἐλέους, καί γάρ ἀνθρώπων με οὐδείς, παροργίζει καθ᾽ ἑκάστην ὡς οὗτος. Ἀλλά πρεσβείαις Σου σεπταῖς, τοῦ πυρός ποιήσω ἀμέτοχον, εἰ καρπούς μετανοίας προσάξει.

www.tezaurliturgic.ro



### Ἡ Θεοτόκος πρός τόν ἁμαρτωλόν.

Πρόσχης, μή ταῖς προτέροις κακίαις ἐμπέσης, ἱκεσίαις μου γάρ πρός Υἱόν μου τόν Εὔσπλαγχνον, ἐν τῷ Ἅ, δη ὑπάρχων, ἀνελύληθας πρός ὕψος. Ἀλλ' ἄπελθε εἰς μετανοίας ὁδούς, ἵνα ρυσθῇς τῆς αἰωνίου κολάσεως.

### Ὁ Κανών τοῦ Ἁγίου. Εἱρμός ὁ αὐτός.

Ἀσκητῶν ἀκρότης καί μιγάδων ἡ δόξα, τῶν μοναστῶν ἡ κορωνίς, Γεράσιμε σοφέ. Βλέψον ἐξ οὐρανόθεν σύν τῷ καλῷ μαθητῇ Σαββατίῳ τῷ κλεινῷ σύν Νίκωνι καί Συμεών καί Ἰωάννῃ, τήν λύσιν ἡμῖν αἴτησαι.

Ἐπί τῷ ξένῳ Σου βίῳ τῶν ἀγγέλων αἱ τάξεις καταπλαγεῖσαι, τῇ κοιμήσει κατῆλθον τῇ Σῇ καί τήν θείαν ψυχήν Σου κατησπάζοντο. Ἐν χερσί δέ λαβόντες, Κυρίῳ τῷ Θεῷ ταύτην ἔφερον, τά νικητήρια ψάλλοντες.

### Δόξα Πατρί ..............

Φωτί ἀΰλῳ τῷ θείῳ παρεστώς τῇ τριάδι τῶν μαθητῶν Σου, μέμνησο ἀεί, τῶν κατοικούντων ἐν τῷ οἴκῳ Σου. Αἴτησαι πταισμάτων τήν ἄφεσιν, λύτρωσον αὐτούς ἐκ τῶν παθῶν, καί πειρασμῶν καί περιστάσεων.

### Καί Νῦν ............ Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα τό θεῖον, τήν ψυχήν μου τακεῖσαν, ἐν ἡδοναῖς, τάς σειράς διάλυσον Ἁγνή. Καί τοῦ ἐξωτέρου σκότους με λύτρωσαι, πυρός τοῦ ἀσβέστου καί σκώληκος πικροῦ, ὅπως πιστῶς ὑμνῶ Σε, εἰς τούς αἰῶνας Ἀμήν.

www.tezaurliturgic.ro



ΚΑΤΑΒΑΣΙΑ. Ἅπας γηγενής.
Ἐξαποστειλάριον. Ὁ οὐρανόν τοῖς ἄστροις.

Ἀγγελικόν τόν βίον, ποθῶν ἐμάκρυνας σαυτόν, ἐν τῇ ἐρήμῳ τῇ θείᾳ πάτερ τοῦ Ἰορδάνου. Ὅθεν ὡς ἄυλος ἀνεδείχθης, Γεράσιμε, θεοφόρε.

Ἕτερον, ὁμοίως.

Ἐπιφανείς, Γεράσιμε, ἀνέστησας παραδόξως, τον τεθνεῶτα ἀδελφόν, θαῦμα μέγιστον δείξας, καί λέοντα ἡμέρωσας, Χριστοῦ θεράπων ὡς μέγας.

Θεοτοκίον ὁμοίως.

Καί Σέ μεσίτριαν ἔχω, πρός τόν Φιλάνθρωπον Θεόν μή μοῦ ἐλέγξη τάς πράξεις, ἐνώπιον τῶν ἀγγέλων, παρακαλῶ Σέ Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Εἰς τούς Αἴνους

Ἱστῶμεν στίχους δ' καί ψάλλομεν τά ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος πλάγιος Δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ὑπέρ Χριστοῦ καρτερῶν, ὁ γενναῖος Γεράσιμος, τόν ἐχθρόν κατῄσχυνεν ἐξαισίως ἐν θαύμασιν. Νεκρόν ἐγείρει καί κατασπάζεται, ἄγριον θῆρα ἥμερον δείκνυσιν. Ὢ κράτος ἄμαχον, ὢ τεθαυμάστωται ὁ ἀσκητής, ἀλλά ταῖς εὐχαῖς Αὐτοῦ, σῶσον ἡμᾶς ὁ Θεός.

www.tezaurliturgic.ro



Αἰνεῖτε Αὐτόν ἐν ἤχῳ σάλπιγγος............

Ὅσιε πάτερ Γεράσιμε, ἐν Ἰορδάνῃ οἰκῶν, τῷ Χριστῷ ἠκολούθησας, μή προκρίνας, ἔνδοξε τά φθαρτά πρός τά ἄφθαρτα. Τοῦ γάρ δολίου ἐχθροῦ οὐκ ἔπτηξας, τάς ἐκφοβήσεις ἐν τῇ καλύβῃ οἰκῶν. Ὦ θείων πράξεων, Σοῦ σεπτοῦ θεράποντος, οὗ ταῖς εὐχαῖς, σῶσον τάς ψυχάς ἡμῶν, Χριστέ, ὡς Εὔσπλαγχνος.

Αἰνεῖτε Αὐτόν ἐν τυμπάνῳ καί χορῷ ................

Ὅσιε πάτερ Γεράσιμε, ἐν Ἰορδάνῃ οἰκῶν, γενναίως ἐβάστασας τόν ἀφόρητον καύσωνα, τάς σκνίπας καί τούς κώνωπας, διά τήν μέλλουσαν ἀνταπόδωσιν, ἐθεώρεις ταῦτα ὡς ἀνυπόστατα. Ὦ ἐγκαλλώπισμα, ἀσκητῶν ἀοίδιμε, Σέ ὁ Χριστός, χαίρων ὑπεδέξατο, εἰς τάς ἀΰλους μονάς.

Αἰνεῖτε Αὐτόν ἐν κυμβάλοις εὐήχοις............

Ὅσιε πάτερ Γεράσιμε, δι' ἀρετῆς γεγονώς, θαυμαστός τε καί ἔνδοξος. Λέοντα ἡμέρωσας καί νεκρόν ἀνέστησας. Καί ἐν ἐρήμῳ ὥσπερ ἐν πόλει οἰκῶν, τάς τῶν δαιμόνων ὤλεσας φάλαγγας. Ὦ τοῦ χαρίσματος, τοῦ ἐν Σοί, μακάριε, δι' οὗ σαφῶς, πᾶσαν κατεπάτησας, τήν τῶν δαιμόνων ὀφρύν.

Δόξα. Ἦχος Πλάγιος Α'

Δεῦτε φιλεόρτων τό σύστημα, δεῦτε πιστῶν ἡ ὁμήγυρις. Δεῦτε εὐφημήσωμεν Γεράσιμον τόν ἀεισέβαστον, ἐπί τῇ μνήμῃ Αὐτοῦ. Οὗτος γάρ θεοπρεπῶς, τά τῇδε καταλιπών, καί τόν Σταυρόν ἐπ' ὤμων ἀράμενος, τῷ Χριστῷ ἐμφρόνως ἠκολούθησε, τήν τῶν ἀρετῶν ἐλάσας ἀκρότητα. Ἄγγελοι μετ' εὐφροσύνης κροτήσαντες ὕμνον τῷ Δεσπότῃ γηθοσύνως προσήγαγον, τόν ὅσιον ἐνισχύσαντα, ἀγγελικόν ἐν γῇ βίον διανῦσαι. Πρός ὅν βοήσωμεν. Ὑπεράγαθε Κύριε, λιταῖς θεράποντος, οἴκτιρον, καί σῶσον τάς ψυχάς ἡμῶν.

www.tezaurliturgic.ro



### Καί Νῦν Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε.....................

### Δοξολογία μεγάλη καί ἀπόλυσις.

Εἰς τήν Λειτουργίαν, τά Τυπικά καί οἱ Μακαρισμοί, καί ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ′ καί ἡ ς′ ᾠδή.



www.tezaurliturgic.ro





# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΓΕΡΑΣΙΜΟΝ

Μετά τό «Κύριε εἰσάκουσον» τό Θεός Κύριος Ἦχος δ΄. Ὁ Ὑψωθείς.

Δεῦτε συμφώνως, ἀδελφοί, μετά χαρᾶς προσπέσωμεν, ἐν κατανύξει βοῶντες, τῷ σεβασμίῳ ἐκ βάθους ψυχῆς. Ἅγιε Γεράσιμε, τῇ θερμῇ Σου πρεσβείᾳ τάχυνον, ἐλέησον τούς πρός Σέ καταφεύγοντας. Καί εἰρηναίαν αἴτησαι ζωήν, ὅπως σωθέντες Σέ πόθῳ δοξάσωμεν. (δίς).

Καί Νῦν Θεοτοκίον

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε.................

Εἶτα ὁ Ν΄ ψαλμός καί ἀρχόμεθα τοῦ Κανόνος.
Ὠ, δή α΄. Ἦχος Πλάγιος Δ΄. Ὑγράν διοδεύσας.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρός Σέ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, ἐπικαλουμένω μοι, Παμμάκαρ, ἐμαῖς ὀδύναις καμφθείς ἐπιτάχυνον.

Λύτρωσαι τούς δούλους Σου τῶν παθῶν, τῶν παρενοχλούντων καθ' ἑκάστην καί πρός βυθόν, δεινόν ἀπολείας συνελάσας, μελλόντων, πάτερ Γεράσιμε τῇ πρεσβείᾳ Σου.

Κτίστην τόν τῶν ὅλων, θαυματουργέ, μή ἐλλίπῃς, ὅλως ἱκετεύειν ὑπέρ ἡμῶν, νόσῳ χαλεπῇ συνεχομένων, ἐξ ἧς ὀλέσθαι κινδυνεύομεν.

www.tezaurliturgic.ro



### Θεοτοκίον.

Ἴασαι νοσοῦντας ἡμᾶς δεινῶς, τῆς θανατηφόρου ἀσθενείας τῶν σαρκικῶν, Ἁγνή, ψυχικῶν τε παθημάτων, ὅπως πιστῶς ἀεί Σέ μακαρίζωμεν.

### Ὠ, δή γ'. Ὁ Εἱρμός Οὐρανίας ἀψῖδος.

Ἰατῆρα παντοίων ἐπηρειῶν, ὅσιε, δόκιμον εἰδότες Σέ ρύστην, ἐπικαλούμεθα τήν Σήν ἀντίληψιν τοῦ θεραπεῦσαι καί σῶσαι, τήν ποίμνην Σου Γεράσιμε.

Τάς δεινάς ἐπινοίας, τῶν ὁρατῶν ὅσιε, καί τῶν ἀοράτων προφθάσας, ἐχθρῶν ἀπόσβεσον τῇ μεσιτείᾳ Σου, ἐπιστηρίζων τῷ φόβῳ τοῦ Κυρίου, ἔνδοξε, τούς ἀνυμνοῦντας Σε, πάτερ Γεράσιμε.

Δεῦτε, ἀδελφοί, μετά πίστεως καί πόθου, προσέλθωμεν τῷ σεβαστῷ ἡμῶν Πατρί Γερασίμῳ ὅπως ρύσηται ἡμᾶς τῆς τῶν Ἀράβων ἐπιβουλῆς καί κακώσεως.

### Θεοτοκίον.

Παναγία Παρθένε, τῶν ἀθλητῶν καύχημα, καί τῶν Ἱερῶν Ἀποστόλων τό σεμνολόγημα, τούς ἐν πίστει Σε χαρμονικῶν ἀνυμνοῦντας, ρῦσαι ταῖς πρεσβείαις Σου, πάσης κακώσεως.

Διάσωσον ἀπό κινδύνων καί θλίψεων τούς Σούς δούλους Σου γάρ πάντες φρουρόν καί τεῖχος κεκτήμεθα, ὡς ἄρρηκτον Γεράσιμε ὦ τρισμάκαρ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν. Καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

www.tezaurliturgic.ro



Κάθισμα. Ἦχος δ΄. «Πρεσβεία θερμή».

Ἐν ἐρημίαις ἀεί καί σπηλαίοις καί ὄρεσι πίστει διαιτώμενος, τόν Θεόν ἐξεζήτησας, καί τοῦτον εὗρες ὥσπερ ἐπόθησας, ἀνεπιστρόφῳ ψυχῇ νευρούμενος, ταῖς ἀναβάσεσι ταῖς καλαῖς ἑκάστοτε. Καί μοναστῶν στίφη προσενήνοχας Χριστῷ σῳζόμενα.

Ὠ, δή δ΄. «Εἰσακήκοα, Κύριε».

Πειρασμοῖς συνεχόμενοι, πάθεσι ποικίλοις τε, Παναοίδιμε, Σοῦ δεόμεθα οἱ δοῦλοι Σου, ἐξαλεῖψαι τούτους τῇ πρεσβείᾳ Σου.

Πατῆρα εἰδότες Σε, ἀλγεινῶν καί παθῶν χαλεπῶν, ἱκετεύομέν Σε, Γεράσιμε, θεραπεῦσαι τούς ἀναξίους δούλους Σου.

Σοῦ δεόμεθα, Ἅγιε, ἵλεον ποιῆσαι Θεόν ὀργιζόμενον, καθ' ἡμῶν τῶν παραβατῶν Αὐτοῦ, καί ἀτιμασάντων τε τά προστάγματα.

Θεοτοκίον.

Τάς ψυχάς ἡμῶν αὔγασον, τούς ἐσκοτισμένους, τοῖς πλημμελήμασι, ἡ τόν ἥλιον κυήσασα, τῆς δικαιοσύνης, ἀειπάρθενε.

Ὠ, δή ε΄. «Φώτισον ἡμᾶς».

Πασαι δεινῶς ἀσθενοῦντας τήν ψυχήν ἡμῶν, καί τό σῶμα τῇ πρεσβείᾳ, διδούς ἡμῖν ὑγιείαν, εἰρήνην καί ἔλεος, ὅσιε Γεράσιμε.

Λύτρωσαι ἡμᾶς, τῆς ἐχθρῶν ἐπιβουλῆς καί ὁρμῆς ἐπιμόνῳ τῇ δεήσει Σου, κακονοίας πάσας ἐξαφάνισον, πάτερ Γεράσιμε.

Λῦσον τήν ἰσχύν τῆς δεινῆς καί ὀλεθρίου ὀργῆς, τῆς πανώλους καί χολέρας, τῇ πρεσβείᾳ Σου διδούς ἡμῖν ὑγιείαν καί μέγα ἔλεος.

www.tezaurliturgic.ro



### Θεοτοκίον.

Υπέρ τῶν εἰς Σέ τάς ἐλπίδας πάντων, Δέσποινα κεκτημένων, Κόρη, πρέσβευε, ὅπως λυτρωθείημεν πάσης κατακρίσεως.

### Ὠ, δή σ'. Ἱλάσθητί μοι, Σωτήρ.

Συντρίψας τῶν νοητῶν λεόντων μύλας ἐν χάριτι, ὑπέταξας αἰσθητῶς τούς θῆρας, Γεράσιμε, λέων οὖν ὑπακούει εὐπειθῶς τοῖς Σοῖς προστάγμασιν.

Τόν βίον ἀγγελικόν, τό φρόνημα πάτερ μέτριος, κτησάμενος ἐν Χριστῷ πρᾶος ἐχρημάτισας καί νῦν κατεσκήνωσας, ἐν γῇ τῇ τῶν πραέων, χαρμονῆς θείας πληρούμενος.

Ἐνέκρωσας σαρκός ἐπιθυμίας τοῖς πόμοις Σου, ἐσταύρωσας σεαυτόν τῷ κόσμῳ καί τοῖς πάθεσι, νηστείαις καί δάκρυσι, προσευχαῖς καί ὕμνοις ἀνενδότοις προσεδρεύων Θεῷ.

### Θεοτοκίον.

Ἐσκήνωσεν ἐπί Σοί, Πατρός Ἁγνή, τό ἀπαύγασμα, καί γεννηθείς ἐν σαρκί, τόν κόσμον ἐφώτισε, καί σκότους ἐρύσατο τῆς πολυθεΐας, διά τοῦτο ἀνυμνοῦμεν Σε.

Διάσωσον ἀπό κινδύνων τούς δούλους Σου...............

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε..................

### Κοντάκιον
### Ἦχος Β'. «Προστασία τῶν Χριστιανῶν».

Προστασία τῶν πιστῶν ἑτοιμότατος, ἱκεσία πρός Χριστόν τόν Θεόν ἀκαταίσχυντος. Μή ὑπερίδῃς δέησιν τῶν δούλων Σου οἰκτράν.

www.tezaurliturgic.ro



Ἀλλά πρόφθασον ὡς συμπαθής, πρός ἐξιλέωσιν Θεοῦ, τοῖς πιστῶς προσκυνοῦσι Σε. Καί δοξάζουσι, ἐρημικώτατε Γεράσιμε.

Προκείμενον Ἦχος Δ΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περί πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν, Τό «Πᾶσα πνοή», Εὐαγγέλιον Ὁσιακόν.**

**Ταῖς τοῦ Σοῦ Ὁσίου ..........**

**Ταῖς τῆς Θεοτόκου .............**

**Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.**

Προσόμοιον. Ἦχος Πλάγιος Β΄. «Ὅλην ἀποθέμενοι».

Ὅλην ἀνατέθεικας τήν Σήν Ζωήν τῷ Κυρίῳ καί θερμῶς ἐχώρησας, ἐν Ἰορδάνῃ πάτερ ὅσιε. Προσευχήν ἀθόλωτον, ἀγρυπνίαν πάννυχον, ὑμνῳδία δίαν ἀκατάπαυστον καί βίον ἄμεμπτον, καί ἀγγελικόν ἐνδεικνύμενος. Ἐντεῦθεν τήν ἐνέργειαν, τήν τῶν θαυμασίων ἐπλούτησας. Οἶδε γάρ δοξάζειν ὁ Κύριος τούς δούλους ἑαυτοῦ, ὅν παρρησίᾳ δυσώπησον ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον τόν Θεός τόν λαόν Σου..................

Κύριε Ἐλέησον ιβ΄. Ὁ Ἱερεύς τό «Ἐλέει καί οἰκτιρμοῖς....»

Ὠ, δή ζ΄. «Παῖδες Ἑβραίων».

Ρῦσαι ἐνθέοις Σου πρεσβείαις, τῆς κολάσεως ἡμᾶς τούς Σούς ἱκέτας, εὐφημοῦντας τούς Σούς ἀγῶνας, Γεράσιμε τρισμάκαρ, καί τῷ Χριστῷ κραυγάζοντας, ὁ Θεός εὐλογητός εἶ.

Στόματι φέρων ὑμνῳδίαν, ἐν μιμήματι ἀπαύστῳ τῶν ἀγγέλων, ἐν ἀγρύπνῳ νοΐ, Γεράσιμε, ἐβόας: Ὁ τῶν Πατέρων Κύριος καί Θεός

www.tezaurliturgic.ro



εὐλογητός εἶ.

Στῆσον δεινῶν τάς καταιγίδας, ἱκεσίαις Σου τάς νῦν ἐπερχομένας, ἵνα οἱ δοῦλοι Σου βοῶμεν, πρόφθασον τά τέκνα Σου, Γεράσιμε τριμάκαρ.

Θεοτοκίον.

Ρῶσιν ψυχῶν τε καί σωμάτων, τοῖς οἰκέταις Σου παράσχου, Θεοτόκε, πρός Χριστόν τόν Θεόν πρεσβείαν ποιουμένη, τόν Σόν Υἱόν καί Κύριον τόν ἰώμενον τά πάθη.

Ὠ, δή η'. «Οἱ Θεορρήμονες Παῖδες».

Λελαμπρυσμένος παρέστης τῷ Δεσπότῃ ἀσκητικαῖς ἀγλαΐαις, θαυματοφόρε, Γεράσιμε, καί ταῖς τῶν ἀσωμάτων χορείαις ἠρίθμησαι.

Ἐν ἀκακίᾳ τόν βίον διανύσας, τοῦ πονηροῦ τήν καθέδραν ὁλοσχερῶς ἀπεμείωσας, ἀσκητῶν ὡραιότης, ἔνδοξε Γεράσιμε.

Καταστολήν ἀφθαρσίας, ἐνεδύσω τῇ τῶν παθῶν ἀπεκδύσει, πάτερ θεόφρων Γεράσιμε, καί νυμφῶνος ἐνθέου ἀξίως ἐπέτυχες.

Θεοτοκίον.

Ὡς εὐωδέστατον ρόδον, εὑρηκώς Σε ἐν ταῖς κοιλάσι τοῦ βίου ὁ ὑπερούσιος, Πάναγνε, διά Σοῦ εὐωδίαν τῷ κόσμῳ διέπνευσεν.

Ὠ, δή θ'. «Ἐξέστη ἐπί τούτῳ ὁ οὐρανός».

Νοσοῦσι τήν τῶν νόσων ἀπαλλαγήν, θλιβομένοις τήν θείαν παράκλησιν, δίδου ταῖς Σαῖς, ἱεραῖς πρεσβείαις πρός τόν Θεόν, τόν Ποιητήν τοῦ Σύμπαντος καί τῶν ἐν ἀνάγκαις καί συμφοραῖς, τήν λύτρωσιν παράσχου καί τήν τῶν ἐπταισμένων, πᾶσι τήν ἄφεσιν Γεράσιμε.

www.tezaurliturgic.ro



Πρεσβεία Σου ἀγρύπνῳ πρός τόν Θεόν, ὅσιε πάτερ Γεράσιμε, σκέπε ἡμᾶς, τούς ἀνευφημοῦντας Σε εὐσεβῶς, καί πόθῳ δεομένους Σου, καί ἐξαιτουμένους Σου ἐκ ψυχῆς, τήν θείαν προστασίαν, ἐν τοῖς δεινοῖς τοῦ βίου, ἵνα Σέ ὕμνοις μεγαλύνωμεν.

Τήν δέησιν τῶν δούλων Σου εὐμενῶς, Θεοφόρε Γεράσιμε πρόσδεξαι, ἐνέμων ἡμῖν, πάντα τά αἰτήματα συμπαθῶς, ἅ παρά Σοῦ αἰτούμεθα, τά πρός σωτηρίαν τήν ἑαυτῶν, τοῖς θεῖον Σέ μεσίτην, θεῷ προσαγωγοῦσι, τῷ Φιλανθρώπῳ Θεῷ και οἰκτίρμονι.

## Θεοτοκίον.

Φιλάγαθε Παρθένε Χριστιανῶν, ἐλπίς ἡ βεβαία, περίσωζαι ἐκ πειρασμῶν, τοῦ παρόντος βίου πάντας ἡμᾶς, καί τῶν ἐκεῖ κολάσεων, τῶν ἀποκειμένων δίκῃ Θεοῦ, ἡμῖν τοῖς πλημμελοῦσι, διά τῆς μετανοίας, ρυσθῆναι πρεσβείαις δεόμεθα.

## Εἶτα ψάλλομεν τό «Ἄξιόν ἐστιν» καί τά παρόντα Μεγαλυνάρια.

Χαίροις τῶν πατέρων ἡ καλλονή, χαίροις τῶν ὁσίων, κανών Θείος ἐν ἀρετῇ. Χαίροις Ἰορδάνου ὡράϊσμα καί κλέος, καί τῆς Σῆς ποίμνης, Πάτερ Γεράσιμε.

Ὕψωσον παλάμας Σου πρός Θεόν, ὑπέρ τῆς Σῆς ποίμνης, τρισμάκαρ πάτερ σοφέ, καί παράσχον λύσιν πολλῶν ἀμπλακημάτων, ρυσθῆναι τῆς μελλούσης φρικτῆς κολάσεως.

Φρούρει τήν Σήν ποίμνην, πάτερ σοφέ, Γεράσιμε μάκαρ, τήν τιμῶσαν Σε εὐσεβῶς καί πανευχαρίστως, καί λύων ἐγκλημάτων, τούς πόθῳ Σέ ὑμνοῦντας, ἀξιοθαύμαστε.

Γεράσιμον τόν μέγαν, ὦ ἀδελφοί, σύν τῷ Εὐθυμίῳ, Ἰωάννη καί Συμεῶν, Ζωσιμᾶν, Μαρίαν, Κυριακόν τόν θεῖον, καί πάντας τούς ὁσίους, ἐν ὕμνοις τιμήσωμεν.

www.tezaurliturgic.ro



Ταῖς τῶν Ἀποστόλων Σου προσευχαῖς, Προφητῶν, Μαρτύρων καί ἁπάντων Ἱεραρχῶν, πάντων τῶν ὁσίων, τῶν ἐν Ἰορδάνῃ στερρῶς ἀσκητευσάντων δῶσον τούς δούλους Σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς. Οἱ ἅγιοι πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

**Τρισάγιον. Δόξα Πατρί ... Καί νῦν ... Παναγία τριάς.**
**Δόξα Πατρί ... Πάτερ ἡμῶν ..... Ὅτι Σοῦ ἐστιν.**

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοί τήν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

**Δόξα Πατρί..........**

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον και νῦν ἐφ' ἡμᾶς καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου πάντες, ἔργα χειρῶν Σου καί τό Ὄνομά Σου ἐπικεκλήμεθα.

**Καί Νῦν ............**

Τῆς εὐσπλαγχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσαιμεν. Ρυσθείημεν διά Σοῦ τῶν περιστάσεων, σύ γάρ εἶ σωτηρία τοῦ γένους ἡ τῶν Χριστιανῶν.

**Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ........ καί μνημονεύει τά ὀνόματα.**
**Εἶτα τό τροπάριον.**

www.tezaurliturgic.ro



Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου......

Νέφος ἀθυμίας σκοτεινόν καί στενοχωρίας ὁμίχλῃ νυνί καλύπτομαι, θλίψεις ἀλλεπάλληλαι διαταράττουσιν. Ὁ δέ φόβος κινδύνων με, δεινῶς περιέχει, δέομαί Σου, σῶσον με, πάτερ Γεράσιμε. Σέ γάρ ὀνομάζω προστάτην, καί Σοῦ τήν βοήθειαν, μάκαρ, ἐπικαλουμένῳ μοι κατάπεμψον.

Δέσποινα, πρόσδεξαι.................
ήν πᾶσαν ἐλπίδα μου ............

Ἀ π ό λ υ σ ι ς



www.tezaurliturgic.ro



# ΧΑΙΡΕΤΙΣΜΟΙ

## ΟΙΚΟΙ ΚΔ'
Κατ' αλφάβητον είς τόν ἅγιον Γεράσιμον.

### Κοντάκιον
Ἦχος Πλάγιος Δ'. Τῇ Ὑπερμάχῳ.

Ὡς Ἰορδάνου οἰκιστήν καί πολιοῦχον, καί ἀναχωρητῶν ὑπογραμμόν καί τῶν μιγάδων, εὐφημοῦμεν Σε ἡ ποίμνη Σου, Θεοφόρε. Ἀλλ' ὡς ἔχων παρρησίαν πρός τόν Κύριον, ἐξ ἐχθρῶν ἐπεμβαινόντων ἡμᾶς φρούρησον ἵνα κράζωμεν, Χαίροις πάτερ ΓΕΡΑΣΙΜΕ.

Ἄγγελος ἐξ ἀνθρώπων, Θεοφόρε ἐγένου, ἐκ γῆς εἰς τά οὐράνια φθάσας (τρίς). Καί τοῖς ἀσωμάτοις ἀγαλλιώμενόν Σε θεωρῶν, ἐξίσταμαι, καί φόβῳ Σοι κραυγάζω ἐκ ψυχῆς τοιαῦτα:

Χαῖρε τῆς Λυκίας ὁ θεῖος γόνος, χαῖρε τοῦ Ἰορδάνου το θεῖον κλέος.
Χαῖρε τῆς ἀρετῆς ὁ φίλος γνήσιος, χαῖρε τοῦ Χριστοῦ μου θεράπων ὁ μέγιστος.
Χαῖρε, ὅτι πάντα δέδωκας καί ὠνήσω τόν Χριστόν, Χαῖρε, ὅτι πάντα σκύβαλα ἐλογίσω δι' Αὐτόν.
Χαῖρε Ἰορδάνου πολιοῦχος ὁ μέγας, χαῖρε ὅτι πλήθη ἐν αὐτῷ συνέλεξας.
Χαῖρε τῆς Λαύρας ὁ φύλαξ καί πρόμαχος, χαῖρε τῶν φοιτητῶν ὁ μέγας διδάσκαλος.
Χαῖρε, δι' οὗ μονασταί ἐγκαυχῶνται, χαῖρε, δι' οὗ θάρσους πληροῦνται.

www.tezaurliturgic.ro



Χαίροις, Πάτερ Γεράσιμε

Βίου ταῖς τρικυμίαις λυτρωθείς, Θεοφόρε, νουνεχῶς τούς πρό Σοῦ Πατέρας ἐμιμήσω. Ὧν ταῖς ἐντολαῖς ἀκολουθῶν, ἀναβάσεις ἔσχες, Γεράσιμε, δι' ὅ καί τῷ Δεσπότῃ Σου, μακάριε, ἐκ πόθου ἀνεβόας:

Ἀλληλούϊα

Γνώμην ἔχων εὐθεῖαν, ζήλου πνέουσα θείου, Ἀντώνιος ὡς ἄλλος Θεοφόρε, συστήματα μοναχῶν συνελλέξω ὡς πάλαι οὗτος ἐν Αἰγύπτῳ, πρός ὅν ἐνατενίζοντες βοῶμεν ἐκ καρδίας οὕτως:

Χαῖρε ὁ στῦλος τῆς ἡσυχίας, χαῖρε τό θαῦμα τῆς ἐγκρατείας.

Χαῖρε, ὅτι μέγας γέγονας τῆς μονήρους βιοτῆς, χαῖρε ὁ ἐξαίρετος αὐτῆς προασπιστής.

Χαῖρε ὁ μηδέν τοῦ Θεοῦ προτιμήσας, Χαῖρε εὐσεβῶς ὑπέρ Τούτου ἀσκήσας.

Χαῖρε ἀθλητά τῶν ἀγγέλων ὁμόσκηνε, χαῖρε, πρεσβευτά τῶν ψυχῶν ἀκαταίσχυντε.

Χαῖρε ὁ βρότειος ἐν ἀγγέλοις, χαῖρε ὁ ἄγγελος ἐν ἀνθρώποις.

Χαίροις, Πάτερ Γεράσιμε.

Δύναμις οὐρανόθεν κατεπέμφη Σοι, μάκαρ καί ἐμάκρυνας ἐν τῇ ἐρήμῳ, τό δέ ἄγονον αὐτῆς, σοφέ, ὡς ἀγρόν ὑπέδειξας καλόν καί εὔκαρπον, τοῖς θέλουσι κερδίζειν Βασιλείαν, ἐν τῷ ψάλλειν οὕτως:

Ἀλληλούϊα

Ἔχων θεῖον ζῆλον, Γεράσιμε, τῇ Σῇ καρδίᾳ καί θείου φωτός πεπληρωμένην, ἀναβάσεις ἐποίεις συνεχῶς, καί τό τάλαντον καλῶς ἐμπορευθείς ἔχαιρες, ἡμεῖς δέ θαυμάζοντες, βοῶμεν Σοι ἐμφρόνως ταῦτα:

Χαῖρε τό ὕψος τῆς εὐλαβείας, χαῖρε ὁ ὄρπηξ τῆς ἐρημίας.

Χαῖρε ἡσυχίας πυρσός ὁ ἀκοίμητος, χαῖρε ἐγκρατείας κανών ὁ εὐθύτατος.

www.tezaurliturgic.ro



Χαῖρε ἐγκαλλώπισμα μοναζόντων εὐλαβῶν, χαῖρε καύχημα σεβάσμιον
ἐναρέτων ἀσκητῶν.
Χαῖρε Σῆς Λαύρας πολιοῦχος ὁ μέγας, Χαῖρε αὐτῆς ὁ φρουρός τε
καί φύλαξ.
Χαῖρε φαιδρόν ὁσίων ἀγλάϊσμα, χαῖρε ἀσκήσεως καύχημα.
Χαῖρε ὁ πρέσβυς τῆς ἡμῶν σωτηρίας, Χαῖρε ὁ Θεῷ οἰκειῶν τήν
Σήν ποίμνην

Χαίροις, Πάτερ Γεράσιμε.

Ζῆλος ὁ τοῦ Δεσπότου ζέων ἐν τῇ ψυχῇ Σου, Γεράσιμε, ἡνώθης ἀγγέλοις Καί σαὐτόν ταμεῖον ἱερόν τῆς Τριάδος ἀναδείξας, ὅσιε, ἐβόας σύν αὐτοῖς τόν θεῖον ὕμνον:

Ἀλληλούϊα.

Ἤκουσαν οἱ οἰκοῦντες Ἰορδάνην Σῆς φήμης, καί ἔτρεχον πρός Σέ τοῦ ἰδεῖν Σε. Ἀλλ᾽ ὁ τῆς κακίας σοφιστής τοῖς δικτύοις τῶν Μονοφυσιτῶν, ἠσχύνθη δι᾽ Εὐθυμίου ὁ βέβηλος, ἡμεῖς δέ Σοι βοῶμεν:
Χαῖρε ὁ σοφός ἀγελάρχης, χαῖρε ὁ καλός ποιμενάρχης.
Χαῖρε Ἰορδάνου κλεινόν σεμνολόγημα, Χαῖρε τῆς ἐρήμου
τό ἀκλόνητον ἔρεισμα.
Χαῖρε, ὅτι κοιμηθέντος Εὐθυμίου ἐθεώρεις τήν ψυχήν, Χαῖρε ὅτι
προσευχόμενος προεώρας τά μακράν.
Χαῖρε ὅτι ὑπάρχεις ὁδηγός μοναζόντων, Χαῖρε ὅτι ἐδείχθης
τῶν ἐν ἐρήμοις προστάτης.
Χαῖρε φωστήρ Ἰορδάνου λαμπρότατος, χαῖρε τῆς ἐρήμου ὁ λύχνος
ὁ πάμφωτος.
Χαῖρε δι᾽ οὗ Θεός ἐδοξάσθη, χαῖρε, δι᾽ οὗ ὁ ἐχθρός κατησχύνθη.

Χαίροις, Πάτερ Γεράσιμε.

Θεοφόρος ὁ μέγας καί κλεινός ποιμενάρχης, τούς πάντας ἐδέχετο προθύμως, καί ὡς λύχνος ἐφώτιζε ταῖς Αὐτοῦ διδασκαλίαις, ὁδηγῶν ἅπαντας, ἵνα φθάσωσι τόν ἄφθαστον, καί ἀγαλλόμενοι βοῶσιν:

www.tezaurliturgic.ro



Ἀλληλούϊα.

Ἴδον παῖδες ἐρήμου, καί χοροί τῶν Πατέρων, Γεράσιμον σεπτόν ἐν Ἰορδάνῃ. Καί ὡς Παῦλον νοοῦντες κλεινόν, καί ὡς ἄλλον Ἀντώνιον Αὐτόν, σπεύδοντα τοῖς τούτων ἰχνηλατῆσαι τρίβοις, θαυμάζοντες ἐβόων οὕτως:

Ἀλληλούϊα.

Χαῖρε ἀστήρ ἐξ ἑώας αὐγάσας, Χαῖρε ὁ τήν ἔρημον Ἰορδάνου λαμπρύνας.
Χαῖρε τοῖς ἐν βάθει παθῶν ἡ ἀνάκλησις, Χαῖρε τοῖς ἐν ζόφῳ κακίας ἡ λύτρωσις.
Χαῖρε ὅτι κατεπάτησας διαβόλου ἀπειλάς, Χαῖρε ὅτι ἐταπείνωσας τῶν δαιμόνων τήν ὀφρύν.
Χαῖρε τῆς Σῆς μάνδρας ὁ προστάτης καί ρύστης, Χαῖρε τῶν Σῶν φοιτητῶν ὁδηγός καί ἀλείπτης.
Χαῖρε, ὅτι ἐθαύμασαν ἄγγελοι, Χαῖρε, ὅτι Σέ θῆρες ᾐδέσθησαν.
Χαῖρε ὀσμή τῆς ἐρήμου καί κλέος, Χαῖρε πρεσβευτά τῆς ἡμῶν σωτηρίας.

Χαίροις, Πάτερ Γεράσιμε.

Καταφύγιον θεῖον τήν ἔρημον γιγνώσκων, ἔσπευσας ἐν τῇ ἐρήμῳ Ἰορδάνου. Τό γάρ ἄχαρι ταύτης καί θερμόν, οὐκ ἐδειλίασας ποσῶς, Πάνσοφε, ἀλλά χαίρων ἐκ καρδίας τῷ Σωτῆρι ἐβόας ψάλλων:

Ἀλληλούϊα.

Λαύραν ἐν Ἰορδάνῃ ᾠκοδόμησας καί ηὔξησας τρισμάκαρ, πρός ἄσκησιν βίου καθαροῦ. Πλήθη ἄπειρα ἐν ταύτῃ ὑπεδέξω, ἅ θεωροῦντα τούς ἀγῶνας Σου, ἐβόων Σοι τοιαῦτα:
Χαῖρε ἐντολῶν Χριστοῦ ὁ κῆρυξ, Χαῖρε τομός ἀθετούντων ὁ πέλυξ.
Χαῖρε παραδόσεων ἐρήμου συντήρησις, Χαῖρε πασῶν ἐναντίων κατάργησις.
Χαῖρε, ὅτι τά οὐράνια ἀντηλλάξω τοῖς φθαρτοῖς, Χαῖρε, ὅτι

www.tezaurliturgic.ro



ἐκ νεότητος ἠκολούθησας Χριστόν.
Χαῖρε μοναζόντων τῶν Σῶν ἀγαλλίαμα, Χαῖρε τῆς Λαύρας φωστήρ ὁ πολύφωτος.
Χαῖρε Ἰορδάνου πρωτάρχης, Χαῖρε τό καύχημα τῆς ἐρήμου.
Χαῖρε, δι' οὗ ἀναχωρηταί ἐξαρτῶνται, Χαῖρε, δι' οὗ μιγάδες ἐγκαυχῶνται.

### Χαίροις, Πάτερ Γεράσιμε.

Μελετῶν ἀεννάως ἐν τῷ νόμῳ Κυρίου, ἀκλόνητος ὡς πέτρα ὡράθης. Καί ἐφάνης στερρός ἐν πειρασμοῖς, ἀλλ' ἐγνώσθης ἐν τούτῳ παρά πατράσι τέλειος. Βλέποντες δέ τόν λέοντα κομίζοντα τό ὕδωρ, ἐθαύμαζον βοῶντες:

### Ἀλληλούϊα.

Νέαν ἔδειξας πόλιν, τήν ἔρημον Ἰορδάνου, Γεράσιμε, Πανσέβαστε πάτερ. Ὡς ἄλλην Θηβαΐδα γάρ, καί Νιτρίαν ταύτην, μοναστῶν ἐνέπλησας, ἡμεῖς δέ θαυμάζοντες βοῶμεν Σοι ταῦτα:
Χαῖρε ὁμότροπε Εὐθυμίου, Χαῖρε ὁμόζηλε Ἀντωνίου.
Χαῖρε Ὀνουφρίου ἰσότιμε, Χαῖρε Παχωμίου ἰσοστάσιε.
Χαῖρε ὅτι Ἀγαθωνα ἐμιμήσω τόν σεπτόν. Χαῖρε Παΐσιον ἐζηλώσω τόν κλεινόν.
Χαῖρε ὁ σχών Ἀρσενίου τοῦ διάπυρον, χαῖρε ὁ ἀσκῶν τοῦ Παμβώ τό ἀγέλαστον.
Χαῖρε ὁ τοῦ Ἰλαρίωνος μιμητής, Χαῖρε ὁ τοῦ Χαρίτωνος ζηλωτής.
Χαῖρε μοναζόντων ἀκοάς ὁ εὐφράνας, Χαῖρε, ὅτι πλῆθος πρός Θεόν ὁδηγήσας.

### Χαίροις Πάτερ Γεράσιμε.

Ξύλον πεφυτευμένον διεξόδοις ὑδάτων, τοῦ Πνεύματος ἐφάνης, Θεόφρον. Διά τοῦτο γάρ ἀειθαλλεῖς καρπούς ἐπί Σοί οἱ ἀναχωρηταί βλέποντες, ἐθαύμαζον βοῶντες:

www.tezaurliturgic.ro



Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς ἄνω, τῶν δέ κάτω μακρύνων ἀπῆ Γεράσιμος ὁ θεῖος. Κοσμούμενος γάρ ἀρεταῖς, πανθαύμαστος καί ποθεινός γεγένηται, καί πάντες δέ θαυμάζοντες, ἐβόων πρός Αὐτόν τοιαῦτα:
Χαῖρε ὁ μέγας ἐν τῇ ἀσκήσει, Χαῖρε ὁ μείζων ἐν τῇ φρονήσει.
Χαῖρε τοῦ Ἰορδάνου τό θεῖον ἀγλάϊσμα, Χαῖρε τῆς ἐρήμου τό ἡδύτατον θρέμμα.
Χαῖρε πυρσέ μοναχῶν ἀκατάσβεστε, Χαῖρε πριστήρ δαιμόνων, Θεόπεμπτε.
Χαῖρε ἁγίασμα, δι' οὗ σῴζονται πολλοί, Χαῖρε εὔοσμον θυμίαμα δι' οὗ τέρπονται πιστοί.
Χαῖρε τῶν μοναζόντων θεῖον καύχημα, Χαῖρε ἀσκητῶν ἱερόν ἐντρύφημα.
Χαῖρε, δι' οὗ ὁ πτερνιστής κατῃσχύνθη, Χαῖρε, δι' οὗ ὁ Σατάν κατεβλήθη.

Χαίροις, Πάτερ Γεράσιμε.

Πᾶσα φύσις ἀνθρώπων κατεπλάγη, θεόφρον, τό ὅλως παράδοξον καί ξένον. Λέοντα γάρ Σοι εὐπειθῆ ἐθεώρουν πάντες, καί τό ὕδωρ κομίζοντα, σφόδρα δέ ἐκπληττόμενοι, ἠκούετο συμφώνως παρά πάντων:

Ἀλληλούϊα.

Ῥύστης τῶν ἀσκουμένων, ἐν ἐρήμῳ ἐδείχθης, Γεράσιμε, καί θαυμάτων πλήρης. Ἡ καρδία Σου γάρ ναός Θεοῦ ὑπῆρχε καθαρός καί ἀειλαμπής, Ὅσιε. Δι' ὅ καί ἐκπληττόμενοι πιστῶς βοῶμεν:
Χαῖρε τό φῶς ἡμῖν ὁ ἀστράψας, Χαῖρε τό σκότος μακράν ὁ διώξας.
Χαῖρε πληγή δαιμόνων ἀνίατος, Χαῖρε παγίδων αὐτοῦ ἡ κατάργησις.
Χαῖρε ὅτι ἐθριάμβευσας τῶν δαιμόνων τήν ὀφρῦν, Χαῖρε ὅτι ἐτρόπωσας αὐτῶν τάς μηχανάς.
Χαῖρε χορούς ἀναχωρητῶν ὁ εὐφράνας, Χαῖρε ὁ καταστήσας αὐτούς εἰς τό κρεῖττον.
Χαῖρε ὁσίων ἡ εὐκοσμία, Χαῖρε ἡμῶν τε ἡ προστασία.

www.tezaurliturgic.ro



Χαίροις, Πάτερ Γεράσιμε.

Σύν ὁσίοις, ὦ Πάτερ, ἐν τῷ πόλῳ ὑπάρχων, τόν πλάστην καθικέτευε, ἐλέει τάς ἡμῶν ἁμαρτίας παριδεῖν. Δι' ἡμᾶς γάρ ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος, μελλούσης, ἵνα ρύσηται γεένης, δι' ὅ πιστῶς βοῶμεν:

Ἀλληλούϊα.

Τεῖχος τῶν Μοναζόντων ἐν Ἰορδάνῃ ἐδείχθης, καί πάντων τῶν εἰς Σέ προστρεχόντων. Δι' ὅ πρέσβευε ὑπέρ ἡμῶν τῶν ἐξόχως Σε τιμώντων δούλων Σου, καί μετά πόθου τε καί πίστεως ἀναβοώντων οὕτως:
Χαῖρε ἀγάπης διπλῆς ταμεῖον, Χαῖρε ἡμῶν ὁ θερμός προστάτης.
Χαῖρε οὐρανίων ἀγγέλων ὁμόσκηνε, Χαῖρε τοῦ χοροῦ τῶν ὁσίων συμμέτοχε.
Χαῖρε τό κλέος Συμεών τοῦ σαλοῦ, Χαῖρε τό σθένος Ἰωάννου τοῦ ἀσκητοῦ
Χαῖρε ὁ τόν θεῖον Κυριακόν ὁδηγήσας, Χαῖρε ὁ πρέσβυς τῆς ἡμῶν σωτηρίας.
Χαῖρε δι' οὗ καυχῶνται μονασταί, Χαῖρε δι' οὗ φρουροῦνται οἱ σώφρονες.
Χαῖρε, ἐν ᾧ ἀγαλλιᾶται ὁ Νίκων, Χαῖρε, ἐν ᾧ ἡ Σή Λαύρα καυχᾶται.

Χαίροις, Πάτερ Γεράσιμε.

Ὕμνοις ἀεί σχολάζων, καί πυκναῖς ἀγρυπνίαις, ἀγγέλοις ἐξομοίωσαι, μάκαρ. Εὐθυμίου γάρ κοιμηθέντος, ψυχήν προπεμπομένην εἰς οὐρανούς ἐθεώρεις, τῷ δέ Κυρίῳ ἔψαλλες προθύμως σύν ἀγγέλοις:

Ἀλληλούϊα.

Φῶς ὑπάρχων ἐν ἐρήμῳ ἐφώτιζες τούς Σοί φοιτῶντας, ἐν τῇ χώρᾳ Ἰορδάνου. Τό γάρ ἄυλον ἅπτων φῶς, ὡδήγεις πρός γνῶσιν θεϊκήν ἅπαντας, σοφῶς αὐτούς φωτίζων, οἱ καί εὐγνώμονες ἐβόων Σοι ταῦτα:
Χαῖρε ὁ λιμήν τῶν μιγάδων, Χαῖρε τῶν ἀσκητῶν ἡ προστασία.
Χαῖρε ἄστρον φαῖνον Θεοῦ τήν λαμπρότητα, Χαῖρε πῦρ διῶκον

www.tezaurliturgic.ro



δεινήν ἀμαυρότητα.
Χαῖρε ὁ συστήσας Λαύραν ταύτην τήν καλήν, Χαῖρε ὅτι οἱ ὑπομένοντες, σῴζονται ἐν αὐτῇ.
Χαῖρε, ὅτι Σέ ἔχομεν πρόμαχον καί προστάτην ἐν αὐτῇ, Χαῖρε, ὅτι ἀποδιώκεις τούς κινδύνους ἐξ αὐτῆς.
Χαῖρε ὁ χαρίζων τοῖς προστρέχουσιν ἰάματα, Χαῖρε ὁ στηρίζων εἰς τά δόγματα.
Χαῖρε ὁ παρόπτης τῶν ἐπιγείων, Χαῖρε ὁ αὐτόπτης τῶν μυστηρίων.

## Χαίροις, Πάτερ Γεράσιμε.

Χαίρων, μάκαρ ἐνήσκεις ἐν πολλῇ ἡσυχίᾳ σύν θείῳ Εὐθυμίῳ καί ἄλλοις. Ἐμάκρυνας σύν αὐτοῖς πρός τάς ἐρήμους τῷ χρόνῳ τῆς νηστείας καί μετά πάντων ἔψαλλες:

## Ἀλληλούϊα.

Ψάλλεις νῦν μετά ἀγγέλων, ὥς ποτε μετά ἀνθρώπων, ἐν πόλῳ ὡς καί ἐπί γῆς, Θεοφόρε, τόν Τρισάγιον ὕμνον Θεῷ ᾧ ὑπέρ ἡμῶν ἀεί ἱκέτευε, τῶν Σέ τιμώντων, ἔνδοξε Γεράσιμε, καί βοώντων Σοι ταῦτα:
Χαῖρε μοναζόντων τό ἄνθος, Χαῖρε τῆς ἐρήμου τό κλέος.
Χαῖρε Σῆς Λαύρας τύπος καί καύχημα, Χαῖρε Ἰορδάνου ὁ μύστης καί ἀγαλλίαμα.
Χαῖρε, ὅτι Σέ προβάλλομεν μεσίτην πρός Θεόν, Χαῖρε ὅτι Σέ κεκτήμεθα προστάτην καί φρουρόν.
Χαῖρε ὁ φυλάττων τούς οἰκοῦντας τήν Σήν Λαύραν, Χαῖρε ὁ σκέπων πάντας τούς προστρέχοντας ἐνταῦθα.
Χαῖρε βεβαιότατος ἡμῶν προστάτης. Χαῖρε ὁ λυτρούμενος ἡμᾶς ἐν κινδύνοις.
Χαῖρε ὁ φρουρῶν ἡμᾶς ἐν ὥρᾳ θανάτου, Χαῖρε ὁ ὑπέρ ἡμῶν ἀκαταίσχυντος πρέσβυς.

www.tezaurliturgic.ro



**Χαίροις, Πάτερ Γεράσιμε.**

Ὦ πανσέβαστε πάτερ, μοναζόντων λαμπρότης, Γεράσιμε, Χριστοῦ μου θεράπον (τρίς). Προσδεξάμενος τήν δέησιν ἡμῶν, ἀπό πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, ταῖς πρός Θεόν πρεσβείαις Σου, τούς συμβοῶντας:

**Ἀλληλούϊα.**

Καί αὖθις τό Κοντάκιον:

Ὡς Ἰορδάνου οἰκιστήν καί πολιοῦχον,
καί ἀναχωρητῶν ὑπογραμμόν καί τῶν μιγάδων,
εὐφημοῦμεν Σε ἡ ποίμνη Σου Θεοφόρε.
Ἀλλ' ὡς ἔχων παρρησίαν πρός τόν Κύριον
ἐξ ἐχθρῶν ἐπεμβαινόντων ἡμᾶς φρούρησον,
ἵνα κράζωμεν: Χαίροις, Πάτερ, Γεράσιμε.




Οἱ ἀνωτέρω Οἶκοι ὡς καί τά ἔμπροσθεν Ἰδιόμελα, ἀντεγράφησαν ἐκ Σιναϊτικοῦ κώδικος χειρογράφου τῇ 29η Σεπτεμβρίου τοῦ 1908 ὑπό Αὐγουστίνου Μ. καί εἶναι ἄγνωστος ὁ ποιητής αὐτῶν. Ἐκ τῶν ἑξῆς ὅμως στίχων ἐξάγεται ὅτι ἐκαλεῖτο Γεράσιμος:

Ὁμώνυμος πέλων Σοι, τῷ ἐμῷ προστάτῃ
ἀναξίως μέν ἐπεί ἁμαρτωλός λίαν.
Δῶρον φέρω Σοι τούς Οἴκους τούτους,
οὕς εὐμενῶς δέξαιο καί πρέσβυς ἔσο
ὑπέρ ἐμοῦ τε, καί Μοναχῶν ἁπάντων.

www.tezaurliturgic.ro

